ISTITUTO STORICO ITALIANO

FONTI

PER LA

STORIA D'ITALIA

PUBBLICATE

DALL' ISTITUTO STORICO

ITALIANO

Vol. 25

SCRITTORI · SECOLO VI

ROMA

NELLA SEDE DELL' ISTITUTO

PALAZZO DEI LINCEI, GIÀ CORSINI,

ALLA LUNGARA

1898

LA GUERRA GOTICA

DI

PROCOPIO DI CESAREA

TESTO GRECO EMENDATO SUI MANOSCRITTI

CON TRADUZIONE ITALIANA

A CURA

DI

DOMENICO COMPARETTI

VOL. TERZO

ROMA

FORZANI E C. TIPOGRAFI DEL SENATO

PALAZZO MADAMA

1898

DELLE ISTORIE

DI

PROCOPIO DI CESAREA

SECONDA TETRADE

LA GUERRA GOTICA

LIBRO IIII.

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ

H 318
P 565
V 179
B 458

ΙΣΤΟΡΙΩΝ ΤΗΣ Β΄ ΤΕΤΡΑΔΟΣ

Η Δ΄.

α΄. Ὅσα μὲν ἄχρι τοῦδέ μοι δεδιήγηται, τῇδε ξυγγέγραπται ᾗπερ B 461
5 δυνατὰ ἐγεγόνει ἐπὶ χωρίων ἐφ' ὧν δὴ ἔργα τὰ πολέμια ξυνηνέχθη
γενέσθαι διελόντι τε καὶ ἁρμοσαμένῳ τοὺς λόγους, οἵπερ ἤδη ἐξενε-
χθέντες πανταχόθι δεδήλωνται τῆς Ῥωμαίων ἀρχῆς. τὸ δὲ ἐνθένδε
οὐκέτι μοι τρόπῳ τῷ εἰρημένῳ ξυγκείσεται. γράμμασι γὰρ τοῖς ἐς τὸ
πᾶν δεδηλωμένοις οὐκέτι εἶχον τὰ ἐπιγινόμενα ἐναρμόζεσθαι, ἀλλ' ὅσα

1-3. Προκοπίου - ἡ δ'] *B* ἱστοριῶν λόγος ὄγδοος, προκοπίου *MCmf (cancell.)* ἀρχὴ τοῦ δ.ου τόμου τῆς η.ης ἱστορίας προκοπίου *D* προκ. καισ. ἱστοριῶν γοτθικῶν τετάρτη *WvV* Πρ. Καισ. τῆς δευτέρας τετράδος τῶν κατ' αὐτὸν ἱστοριῶν βιβλ. δ' *P* 4. μὲν οὖν *m (οὖν cancell.), H* μὲν [οὖν] *f* 5. ἐπιχωρίων *Wv* 7. δεδέλωται *D* 8. ἐς *om. MCDmf (agg. in marg.), H*

DELLE ISTORIE DI PROCOPIO DI CESAREA

SECONDA TETRADE

LIBRO QUARTO.

I. Quanto da me fin qui fu narrato io scrissi dividendo ed ordinando come fu possibile i libri secondo i luoghi nei quali avvennero i fatti di guerra; i quali libri già messi a luce son divulgati per tutto nell' impero romano. I fatti susseguenti non saranno da me ordinati in questo stesso modo che ho detto, poichè non mi era più possibile combinarli cogli avvenimenti già resi di pub-

P 566 κατὰ τοὺς πολέμους τούσδε γεγονέναι ξυνέβη, ἔτι μέντοι καὶ ἐς τὸ Μήδων γένος, ἐπειδὴ τοὺς ἔμπροσθεν λόγους ἐξήνεγκα, ἐν τῷδέ μοι τῷ λόγῳ πάντα γεγράψεται, ἱστορίαν τε αὐτῶν ἐπάναγκες ποικίλην ξυγκεῖσθαι. ἤδη μὲν οὖν ὅσα ξυνέβη ἄχρι ἐς τὸ τέταρτον ἔτος τῆς πενταετηρίδος ἐκεχειρίας, ἣ Ῥωμαίοις ἐγεγόνει καὶ Πέρσαις, ἐν τοῖς 5 ἔμπροσθέν μοι δεδιήγηται λόγοις· τῷ δὲ ἐπιγενομένῳ ἐνιαυτῷ Μηδικῆς στρατιᾶς πολὺς ὅμιλος ἐς γῆν τὴν Κολχίδα ἐσέβαλλον. οἷσπερ ἐφειστήκει Πέρσης ἀνήρ, Χοριάνης ὄνομα, πολέμων ἐς ἄγαν πολλῶν ἔμπειρος. καὶ αὐτῷ ξύμμαχοι βάρβαροι τοῦ Ἀλανῶν γένους πολλοὶ εἵποντο. οὗτος ὁ στρατὸς ἐπειδὴ ἀφίκοντο ἐς χώραν τῆς Λαζικῆς, ἣ ἐπικαλεῖται Μουχείρησις, 10 ἐν ἐπιτηδείῳ στρατοπεδευσάμενοι ἔμενον. ῥεῖ δέ πη ἐνταῦθα ποταμὸς Ἵππις, οὐ μέγας οὐδὲ ναυσίπορος, ἀλλὰ καὶ ἱππεῦσι καὶ ἀνδράσι B 462 πεζοῖς ἐσβατός, οὗ δὴ ἐν δεξιᾷ τὸν χάρακα ἐποιήσαντο, οὗ παρὰ τὴν

1. πολεμίους *MCDmf (corr. in marg.), H* ἔτι] *le edd.* ἐπὶ *i codd.* 2. μήδεων *D* ἐξήνεγκαν *D* 3. γεγράψαται *f (corr.)* ἱστορία - ποικίλη *WvV* 4. ὅσα ξυνέβη *om. WvV* ἔτος *om. MCDmf (agg. in marg.)* 5. ἐγκεχειρίας *MCDmf (corr.)* ἐκκεχειρίας *WvV* 6. ἐπιγινομένῳ *WvV* μιδικῆς *D* 7. εἰς *D* ἐσέβαλον *DWvVL* 8. χορσάνης *MCDmf (corr.), H* ἐμπείρων *WvV* 10. ἐπεὶ δὲ *D* 10-11. μοχήρισις *f (marg.) L* μοχήρησις *WvV* 12. ἴασπις *MCDmf, H* ἴππης *Wv* ἵππης *Vf (marg.), Reg.* 13. ἐσβάτος *W* ἐποιήσατο *D*

blica ragione, ma tutto quanto così in queste guerre come anche in quella contro i Persiani avvenne dopochè io pubblicai i libri antecedenti sarà in questo libro da me narrato, e dovrà quindi la storia di tutto ciò riuscire promiscuamente composta. Ordunque, quanto accadde fino al quarto anno della tregua quinquennale pattuita fra i Romani e i Persiani io già nei libri antecedenti riferii; nell' anno seguente, una grande massa di truppe persiane irruppe nella Colchide, a capo delle quali stava un persiano di nome Choriane, uomo molto esercitato in guerra, ed al suo seguito stavano, come alleati, molti barbari della stirpe degli Alani. Questo esercito, giunto che fu in quel paese della Lazica che si chiama Muchiresis, si accampò in luogo conveniente ed ivi si stette. Colà corre il fiume Ippis, non grande nè navigabile, ma facile al guado così ai pedoni come ai cavalieri. A destra di quello piantaron

ὄχθην, ἀλλὰ κατὰ πολὺ ἄποθεν. ὅπως δὲ τοῖς τάδε ἀναλεγομένοις
ἔκδηλα τὰ ἐπὶ Λαζικῆς χωρία ἔσται, ὅσα τε γένη ἀνθρώπων ἀμφ' αὐτὴν
ἵδρυνται, καὶ μὴ ὑπὲρ τῶν ἀφανῶν σφίσιν ὥσπερ οἱ σκιαμαχοῦντες διαλέ-
γεσθαι ἀναγκάζωνται, οὔ μοι ἀπὸ καιροῦ ἔδοξεν εἶναι ἀναγράψασθαι
5 ἐνταῦθα τοῦ λόγου ὅντινα δὴ τρόπον ἄνθρωποι οἰκοῦσι τὸν Εὔξεινον
καλούμενον Πόντον, οὐκ ἀγνοοῦντι μὲν ὡς καὶ τῶν παλαιοτέρων τισὶ
γέγραπται ταῦτα, οἰομένῳ δὲ οὐκ ἐς τὸ ἀκριβὲς αὐτοῖς πάντα εἰρῆσθαι·
ὧν γέ τινες ὁμόρους Λαζῶν Σάνους ἔφασαν, οἳ τανῦν Τζάνοι ἐπικα-
λοῦνται, ἢ Κόλχους εἶναι, Λαζοὺς ἑτέρους καλέσαντες, οἳ καὶ νῦν ἐπὶ
10 τούτου προσαγορεύονται τοῦ ὀνόματος. καίτοι ἐστὶ τούτων οὐδέτερον. V 180
Τζάνοι μὲν γὰρ τῆς παραλίας ὡς ἀπωτάτω ὄντες προσοικοῦσι τοὺς
Ἀρμενίους ἐν τῇ μεσογείᾳ καὶ ὄρη πολλὰ μεταξὺ ἀποκρέμαται, λίαν
τε ἄβατα καὶ ὅλως κρημνώδη. χώρα τε πολλὴ ἔρημος ἀνθρώπων ἐς

1. ἄπωθεν *f*, *P* 4. ἀναγκάζονται *WvV* ἀπὸ] *WvVf (corr.* ἄπο*)* ἄπω *C* ἄπο *gli altri codd. e le edd.* ἔδοξε *D* ἀναγράψεσθαι *WvV* 5. εὔξεινον-νον *f (corr.)* 6. δὲ *per* μὲν *WvV* τὸ παλαιότερον *WvVf (marg.), Reg.* 7. ὡς καὶ *per* οὐκ ἐς *WvV* 8. οἷς *per* ὧν *MCDmf, H* τινες τραπεζῶν ὁμόρρους ἦσαν οὓς ἔφασαν *WvVL (*ὁμόρους*)* Σάνους] *WvV, B* τζάνους *M, H* τζανοὺς *CDf* τζανοῦς *m* Σουανοὺς *P (corr.; cf. G. Pers. I, 15)* 9. κολχοὺς *WvV* 10. οὐδέτερα *WvVf (marg.) L* 11. ἀποτάτω *D* 11-12. τοὺς Ἀρμενίους] τοὺς ἀρμηνίους *i codd.* τοῖς ἀρμενίοις *le edd.* 12. ἀποκρέμανται *MCDmf (corr. in marg.), H* 13. ἄλλως *D*

lo steccato, non però presso alla riva, bensì assai lontano. Affinchè però i lettori abbiano una chiara idea della Lazica e delle genti che l' abitano, nè sian costretti a ragionar di cosa per essi oscura, come coloro che combattono colle ombre, mi è sembrato non inopportuno descrivere qui come e da quali genti sia abitato il cosidetto Ponto Eusino. Non già che io ignori che taluni antichi scrissero intorno a ciò, ma pur pensando che questo essi non fecero del tutto esattamente; ed invero alcuni di loro dissero che i Sani, chiamati oggi Tzani, fossero confinanti dei Lazi o fossero Colchi, chiamando Lazi altri che anche oggidì portano quel nome; eppure nè l' una nè l' altra cosa è vera. Poichè i Tzani, lontanissimi dal lido, abitano nell' interno in prossimità degli Armeni, e v' han di mezzo assai monti inaccessibili e dirupati, e tutta una vasta regione deserta e torrenti intransitabili,

ἀεὶ οὖσα καὶ χαράδραι ἀνέκβατοι καὶ λόφοι ὑλώδεις καὶ σήραγγες ἀδιέξοδοι, οἷς δὴ ἅπασι μὴ ἐπιθαλάσσιοι εἶναι διείργονται Τζάνοι. Κόλχους δὲ οἷόν τέ ἐστι μὴ τοὺς Λαζοὺς εἶναι, ἐπεὶ παρὰ Φᾶσιν ποταμὸν ᾤκηνται· τὸ δὲ ὄνομα μόνον οἱ Κόλχοι, ὥσπερ ἀνθρώπων ἔθνη καὶ πολλὰ ἕτερα, τανῦν ἐς τὸ Λαζῶν μεταβέβληται. χωρὶς δὲ τούτων καὶ 5
B 463 μέγας αἰὼν μετὰ τοὺς ἐκεῖνα ἀναγραψαμένους ἐπιγενόμενος ἀεί τε ξυννεωτερίζων τοῖς πράγμασι τὰ πολλὰ τῶν καθεστώτων τὰ πρότερα νεοχμῶσαι ἴσχυσεν, ἐθνῶν τε μεταστάσεσι καὶ ἀρχόντων καὶ ὀνομάτων διαδοχαῖς. ἅπερ μοι διαμετρήσασθαι ἀναγκαιότατον ἔδοξεν εἶναι, οὐ τὰ μυθώδη περὶ αὐτῶν ἀπαγγέλλοντι ἢ ἄλλως ἀρχαῖα, οὐδὲ ὅπη ποτὲ Πόντου τοῦ 10
P 567 Εὐξείνου δεθῆναι τὸν Προμηθέα λέγουσι ποιηταί· μύθου γὰρ ἱστο-
H 319 ρίαν παρὰ πολὺ κεχωρίσθαι οἶμαι· ἀλλ' ἐς τὸ ἀκριβὲς διεξιόντι τά τε ὀνόματα καὶ τὰ πράγματα, ὅσα δὴ τανῦν ἐπιχωριάζει τῶν τόπων ἐκείνων ἑκάστῳ.

1. σήριγγες *MCm* σύριγγες *D* 3. κολχοὺς *Wvmf* οὐχ οἷόν τέ ἐστι μὴ οὐ *oppure* οὐκ ἔστιν μὴ *dovrebbe leggersi secondo quel che qui certamente vuol dire l' autore.* παραφασιν *D* φάσιν *WvV* 4. κολχοὶ *WvV* 5. μεταβέβληνται *W* 6–7. συννεωτ. *WvVL* 7. ἀνεωχμοῦν *WvV* ἂν νεοχμοῦν *f (marg.) L* 8. μεταστάσειν *D* 9. ἀναγκαιότατα *D* 11. δεηθῆναι *D* ποιηταί λέγουσι *WvVL* μύθον *D* 11–12. ἱστορία *MCDmf (corr.), P* 12. κεχώρισται *MCDmf, H* κεχωρίσται *P* εἶναι *per* οἶμαι *WvVL* 13. ἐπιχειριάζει *D* τὸν τόπον *WvV*

e colli selvaggi ed abissi insuperabili; cose tutte che separano i Tzani dal mare. Nè può darsi che i Lazi non siano Colchi, dacchè dimorano sul Fasi, e soltanto il nome dei Colchi, come pur avvenne di molte altre nazioni, si è cambiato oggi in quello di Lazi; oltre che il gran tempo passato da quando quelle cose furono scritte, col succedersi continuo di nuovi fatti, molto di ciò che era allora rinnuovò per trapassi di popoli e per successioni di principi e di nomi. E di tali cose io credo mio stretto dovere discorrere misuratamente, senza riferire quanto v' ha di favoloso o di troppo vetusto, nè in qual parte mai del Ponto Eusino dicano i poeti fosse legato Prometeo; poichè grande a mio credere è la differenza fra la storia e la favola poetica; piuttosto io esattamente esporrò i nomi e i fatti oggi comunemente accettati circa ciascuno di quei luoghi.

β'. Οὗτος τοίνυν ὁ Πόντος ἄρχεται μὲν ἐκ Βυζαντίου καὶ Καλχηδόνος, τελευτᾷ δὲ ἐς Κόλχων τὴν γῆν. καὶ αὐτὸν ἐν δεξιᾷ ἐσπλέοντι Βιθυνοί τε καὶ οἱ αὐτῶν ἐχόμενοι Ὀνωριάται καὶ Παφλαγόνες ᾤκηνται, οἳ δὴ ἄλλα τε χωρία καὶ Ἡράκλειάν τε καὶ Ἄμαστριν ἐπιθαλασσίας
5 πόλεις ἔχουσι. καὶ μετ' αὐτοὺς οἱ Ποντικοὶ ἐπικαλούμενοι μέχρι ἐς Τραπεζοῦντα πόλιν καὶ τὰ ταύτης ὅρια. ἐνταῦθα πολίσματά τε ἄλλα ἐπιθαλασσίδια καὶ Σινώπη τε καὶ Ἀμισὸς οἰκεῖται, Ἀμισοῦ τε ἄγχιστα τό τε Θεμισκύριον καλούμενον καὶ Θερμώδων ποταμός ἐστιν, οὗ δὴ τὸ τῶν Ἀμαζόνων στρατόπεδον γεγενῆσθαί φασιν. ἀλλὰ περὶ μὲν Ἀμα-
10 ζόνων γεγράψεταί μοι οὐ πολλῷ ὄπισθεν. Τραπεζουντίων δὲ τὰ ὅρια διήκει ἔς τε κώμην Σουσούρμαιναν καὶ τὸ Ῥιζαῖον καλούμενον χωρίον, B 464 ὅπερ Τραπεζουντίων διέχει δυοῖν ἡμέραιν ὁδὸν διὰ τῆς παραλίας ἐς Λαζικὴν ἰόντι. Τραπεζοῦντος δέ μοι ἐπιμνησθέντι οὐ παριτέον τὸ

1-2. καλχιδόνος *D* 2. αὐτὸν] *WvVL* αὐτῶν *gli altri codd. e le edd.* 3. βυθηνοὶ *MCDmf* οἱ *om. D* ὠνωριάται *D* ἐνόριάτε *WvV* 4. ἄμαγριν *D* ἐπιταλασσίας *D* 5. πόλις *D* 6. ὄρόα *W* 7. ἐπιταλάσσια *D* ἀμινσὸς οἰκ. *MCDmf (corr. in marg.), H* ἀμησὸς οἰκ. *WvV* ἀμινσοῦ *dopo* οἰκ. *MCDmf (corr. in marg.), H* δὲ *per* τε *WvVf (marg.)* 8. Θεμισκύριον] θεμισκούριον *WvVf (marg.), Reg.* θεμίσκιρον *D* θεμίσκυρον *gli altri codd. e le edd.* 9. φασὶν *MCWm* φασὶ *D* 10. τραπεζούντων *MCDmf (corr.)* 11. σουσάρμαιναν *D* σουσούρμενα *WvVf (marg.) L* ῥίζεον *MD, H* ῥίζεων *Cmf (corr.)* χωρίων *D* 12. δυεῖν *WvV* ὁδῷ *MCDmf (corr.), P* 13. τῶ *WvV*

II. Questo Ponto adunque comincia dą Bizanzio e Chalcedone e finisce nella Colchide. Chi in esso entra per nave ha a destra i Bitini, e appresso a questi gli Onoriati e i Paflagoni, i quali, oltre ad altri paesi, hanno le città marittime di Eraclea e di Amastris. Poscia seguono i denominati Pontici, fino alla città di Trebisonda e i suoi confini. Ivi fra le altre piccole città marittime trovansi Sinope ed Amiso, presso la quale stanno il promontorio Temiscirio ed il fiume Termodonte, là dove dicono fosse il campo delle Amazzoni, delle quali tratterò fra non molto. I confini di Trebisonda si estendono fino al villaggio di Susurmena ed al piccolo paese detto Rizeo, distante da Trebisonda due giorni di cammino andando lungo la riva verso la Lazica. E poichè io rammento Trebisonda, non debbo omettere un fatto straordinario

πλείστῳ παραλόγῳ τῇδε ξυμβαῖνον. τὸ γὰρ μέλι ἐν ἅπασι τοῖς περὶ Τραπεζοῦντα χωρίοις πικρὸν γίνεται, ἐνταῦθα μόνον στασιαζομένης τῆς ἀμφ' αὐτῷ δόξης. τούτων δὲ δὴ τῶν χωρίων ἐν δεξιᾷ τὰ Τζανικῆς ὄρη πάντα ἀνέχει, ἐπέκεινά τε αὐτῶν Ἀρμένιοι Ῥωμαίων κατήκοοι ᾤκηνται. ἐκ τούτων δὲ τῶν Τζανικῶν ὀρῶν κάτεισι ποταμὸς Βόας ὄνομα, ὃς δὴ 5 ἔς τε λόχμας παμπληθεῖς ἰὼν καὶ χώραν λοφώδη περιερχόμενος φέρεται μὲν ἄγχιστα τῶν Λαζικῆς χωρίων, ποιεῖται δὲ τὰς ἐκβολὰς ἐς τὸν Εὔξεινον καλούμενον Πόντον, οὐ μέντοι Βόας καλούμενος. ἐπειδὰν γὰρ τῆς θαλάσσης ἐγγὺς ἵκηται, τὸ μὲν ὄνομα μεθίησι τοῦτο, ἑτέρας δὲ τὸ ἐνθένδε προσηγορίας μεταλαγχάνει, ἐκ τῶν οἱ ἐπιγινομένων ὄνομα 10 κτώμενος. Ἄκαμψιν γὰρ αὐτὸν τὸ λοιπὸν καλοῦσιν οἱ ἐπιχώριοι, τούτου δὴ ἕνεκα, ὅτι δὴ κάμψαι αὐτὸν τῇ θαλάσσῃ ἀναμιχθέντα ἀμήχανά ἐστιν, ἐπεὶ ξὺν ῥύμῃ τοσαύτῃ καὶ ὀξύτητι τοῦ ῥοῦ τὰς ἐκβολὰς ποιεῖται, ταραχὴν πολλὴν τοῦ ῥοθίου ἐπίπροσθεν ἐργαζόμενος, ὥστε ὡς

1-2. περὶ Τραπεζοῦντα] *W v V f (marg.) L* τραπεζοῦντος *gli altri codd. e le edd.* 3. αὐτὸ *W v V* τούτω *m f (corr.)* δὲ] *W v V f (marg.); om. gli altri codd. e le edd.* τατζακῆς *W* τὰ τζακῆς *v V* 4. ἐκεῖνα *W v V* ἀρμενίου *D* ἀρμένιον *m* 6. λοχμᾶς *D* λόγχμας *W v* ὑλώδη *M C D m f (corr. in marg.), H* 8. ἐπιδὰν *v* 9. μέτεισι *M C D m f (corr.), P* 10. οἱ *om. D* 11. αὐτῶν *M (corr.) D* τολοιπὸν *M C D m f* 13. τοιαύτη *M C D m f (corr.), P* καὶ *om. D* 14. τοῦ ῥοθίου πολλὴν *W v V f (marg.) L* οὐ *per* ὡς *L*

che ivi avviene, che cioè in tutte le campagne di Trebisonda il miele è amaro, colà soltanto verificandosi il contrario dell'idea che se ne ha generalmente. A destra di quelle campagne si sollevano tutti i monti della Tzanica, al di là dei quali sta l'Armenia soggetta ai Romani. Da questi monti della Tzanica scende il fiume chiamato Boas, il quale andando attraverso a numerosi boschi e percorrendo una regione di colline, arriva in prossimità della Lazica e mette foce nel Ponto Eusino, non però più col nome di Boas; poichè appena giunto presso al mare perde questo nome, e prende invece altra denominazione che ad esso proviene da ciò che gli succede. Infatti di là in poi gli indigeni lo chiamano Akampsis (Inflessibile), per questa ragione: che cioè non può esso affatto piegare nel congiungersi che fa col mare, poichè tale è l'impeto e la violenza della corrente allo sbocco e tale una convulsione di flutti produce, che inoltrandosi per lunghissimo tratto in mare rende

πορρωτάτω τῆς θαλάσσης ἰὼν ἄπορον ποιεῖται τὸν ταύτῃ διάπλουν· οἵ τε ναυτιλλόμενοι ἐνταῦθα τοῦ Πόντου, εἴτε Λαζικῆς εὐθὺ πλέοντες εἴτε καὶ ἐνθένδε ἀπάραντες, οὐκέτι ἑξῆς διαπλεῖν δύνανται. κάμψαι γὰρ τοῦ ποταμοῦ τὸν ῥοῦν οὐδαμῆ ἔχουσιν, ἀλλὰ πορρωτάτω μὲν ἀναγό- B 465
5 μενοι τοῦ ἐκείνῃ πελάγους, ἐπὶ μέσου δέ που τοῦ Πόντου ἰόντες, οὕτω δὴ ἀπαλλάσσεσθαι τῆς τοῦ ποταμοῦ ἐκβολῆς δύνανται. τὰ μὲν οὖν ἀμφὶ ποταμὸν Βόαν τοιαῦτά ἐστι.

Μετὰ δὲ τὸ Ῥίζαιον αὐτονόμων ἀνθρώπων ὅροι ἐκδέχονται, οἳ δὴ P 568 Ῥωμαίων τε καὶ Λαζῶν μεταξὺ ᾤκηνται. καὶ κώμη τις, Ἀθῆναι V 181
10 ὄνομα, ἐνταῦθα οἰκεῖται, οὐχ ὅτι Ἀθηναίων ἄποικοι, ὥσπερ τινὲς οἴονται, τῇδε ἱδρύσαντο, ἀλλὰ γυνή τις Ἀθηναία ὄνομα ἐν τοῖς ἄνω χρόνοις κυρία ἐγεγόνει τῆς χώρας, ἧσπερ ὁ τάφος ἐνταῦθα καὶ εἰς ἐμέ ἐστι. μετὰ δὲ Ἀθήνας Ἄρχαβίς τε οἰκεῖται καὶ Ἀψαροῦς, πόλις ἀρχαία, ἣ τοῦ Ῥιζαίου διέχει ὁδὸν ἡμερῶν τριῶν μάλιστα. αὕτη

1. ἄπειρον *D* 2. ναυτιλόμενοι *DvV* ναυτιλόμενο *W* εὐθὺς *MCD mf (corr. in marg.), H* 3. ἀπέραντες *D* καλύψαι *WvVL* γὰρ *om. L* 4. ἔχουσι *Dmf (corr.)* πορωτάτω *D* 5. μέσον *V* που *om. Df (agg. in marg.)* τὸν πόντον *Dmf (corr.)* τὸν πόντου *(sic) WvV* 6. ἀπαλλάσεσθαι *f (corr.)* δύνανται *W* 7. ποταμοῦ βόα *WvVf (marg.), Reg.* ἐστὶν *D* 8. ῥίζεον *MCDmf (corr. in marg.), H* Ῥιζαῖον *P* ὄρη *M* ὄρη *CDmf* 10. ἄπικοι *D* 13. ἐστιν *C* ἀρχαβὲς *MCDmf (corr.)* 14. ῥιζέου *MCD mf (corr. in marg.), H* ὁδῷ *WvVf (marg.), Reg.*

ivi impossibile il passaggio. Coloro quindi che navigano in quella parte del Ponto, sia che si dirigano verso la Lazica, sia che da quella si partano, non possono più navigare oltre, poichè non sono in grado di valicare il fiume erompente, ma son trasportati a gran distanza in quel mare, e arrivati quasi nel mezzo del Ponto, allora possono passare al di là dello sbocco del fiume. Ma tanto sia detto del fiume Boas.

Al di là di Rizeo stanno i confini di un popolo indipendente che trovasi fra i Romani ed i Lazi. E v' ha colà un villaggio chiamato Atene, non già perchè ivi si stabilisse una colonia ateniese, come alcuni pensano, ma perchè nei tempi passati fu signora di quel paese una donna chiamata Atenea, il sepolcro della quale ivi trovasi ancora al mio tempo. E dopo Atene trovansi Arcabis e l'antica città di Apsarunte distante da Rizeo circa tre giorni di

Ἄψυρτος τὸ παλαιὸν ὠνομάζετο, ὁμώνυμος τῷ ἀνθρώπῳ διὰ τὸ πάθος γεγενημένη. ἐνταῦθα γάρ φασιν οἱ ἐπιχώριοι ἐξ ἐπιβουλῆς Μηδείας τε καὶ Ἰάσονος τὸν Ἄψυρτον ἐξ ἀνθρώπων ἀφανισθῆναι, καὶ δι᾽ αὐτὸ τὴν ἐπωνυμίαν τὸ χωρίον λαβεῖν. ὁ μὲν γὰρ ἐν ἐκείνῳ ἀπέθνησκε, τὸ δὲ ἀπ᾽ αὐτοῦ ὠνομάζετο. ἀλλὰ πολὺς ἄγαν μετὰ ταῦτα ἐπιρρεύσας 5 ὁ χρόνος καὶ ἀνθρώπων ἀναρίθμοις διαδοχαῖς ἐνακμάσας αὐτὸς διαφθεῖραι μὲν τὴν τῶν πραγμάτων ἐπιβολὴν ἴσχυσεν ἐξ ὧν τὸ ὄνομα ξύγκειται τοῦτο, ἐς δὲ τὸν νῦν φαινόμενον τρόπον μεταρρυθμίσαι τὴν προσηγορίαν τῷ τόπῳ. τούτου δὲ τοῦ Ἀψύρτου καὶ τάφος ἐς τῆς πόλεως τὰ πρὸς ἀνίσχοντα ἥλιόν ἐστιν. αὕτη πόλις ἦν τὸ παλαιὸν πολυάνθρωπος, καὶ 10 B 466 τείχους μὲν αὐτὴν περιέβαλε μέγα τι χρῆμα, θεάτρῳ δὲ καὶ ἱπποδρόμῳ ἐκαλλωπίζετο καὶ τοῖς ἄλλοις ἅπασιν, οἷσπερ πόλεως μέγεθος δείκνυσθαι εἴωθε. νῦν δὲ δὴ αὐτῶν ἄλλο οὐδὲν ἀπολέλειπται, ὅτι μὴ τῆς κατασκευῆς τὰ ἐδάφη.

Ὥστε εἰκότως θαυμάσειεν ἄν τις τῶν Κόλχους φαμένων Τραπε- 15

3. Ἰάσονος] *B* ἰάσωνος *i codd., HP* 4. γὰρ ἐν *om. D* 6. ἀναρίθμους *W* 7. ἐπιβουλὴν *Wf, H (marg.)* 8. τὸ *Dmf, HP* τρόπῳ *MCDmf, HP* μεταρρυθμίσαι] *B* μεταρριθμῖσαι *L (corr)* μεταριθμῆσαι *gli altri codd., HP* 9. τρόπω *MCDmf (corr.)* 10. ἐστιν *om. D* ἦν *om. MCDmf (agg. di sec. m.)* ἢν *W* 11. τείχους] *WvV* τεῖχος *gli altri codd. e le edd.* αὐτῇ *WvV* 12. ἐκαλοπ. *D* 13. ἀπολείπεται *f (marg.), Reg.* τῆς *om. D* 14. ἐδάφει *f (corr. in marg.)* 15. κολχοὺς *WvV* 15-1 *(p. 11).* τραπεζουντίων ἰσομόρους *MCDmf (corr.), H*

cammino. Questa chiamavasi anticamente Absirto, dal nome di un uomo sciagurato. Poichè gl' indigeni dicono che colà per insidia di Medea e di Giasone Absirto fosse tolto di vita, e quindi il luogo ne ricevesse il nome, che gli fu dato per esser ivi morto colui; ma il lungo tempo poscia passato, rigoglioso per innumerevoli successioni di uomini, potè cancellare l' effetto dei fatti dai quali quel nome provenne ed alterare l' appellazione del luogo nel modo che ora si vede. Ed anche la tomba di questo Absirto trovasi nel lato orientale della città. Era questa anticamente popolosa e cinta da grandissime mura, ornata di teatro e di circo e d' ogni altra cosa che si addica a grande città. Ora però di tutto questo nulla rimane se non le vestigie delle costruzioni.

Ordunque ben dovrà parere strano che alcuni abbian detto essere

ζουντίοις ὁμόρους εἶναι. ταύτῃ μὲν γὰρ ἂν καὶ τὸ δέρας ξὺν τῇ Μηδείᾳ
συλήσας Ἰάσων οὐκ ἐπὶ τὴν Ἑλλάδα καὶ τὰ πάτρια ἤθη φυγὼν φαίνοιτο, H 320
ἀλλ᾽ ἔμπαλιν ἐπὶ Φᾶσίν τε ποταμὸν καὶ τοὺς ἐνδοτάτω βαρβάρους.
λέγουσι μὲν οὖν ὡς κατὰ τοὺς Τραϊανοῦ τοῦ Ῥωμαίων αὐτοκράτορος
5 χρόνους κατάλογοι Ῥωμαίων στρατιωτῶν ἐνταῦθά τε καὶ μέχρι ἐς Λαζοὺς
καὶ Σαγίδας ἵδρυντο. τὰ δὲ νῦν ἄνθρωποι ἐνταῦθα οἰκοῦσιν οὔτε τοῦ
Ῥωμαίων οὔτε τοῦ Λαζῶν βασιλέως κατήκοοι ὄντες, πλήν γε δὴ ὅτι
Χριστιανοῖς οὖσιν οἱ Λαζῶν ἐπίσκοποι τοὺς ἱερεῖς καθίστανται σφίσι.
καὶ αὐτοὶ ἔνσπονδοί τε καὶ φίλοι ἀμφοτέροις ἐθέλοντες εἶναι τοὺς ἐξ
10 ἑκατέρων παρὰ τοὺς ἑτέρους ἀεὶ στελλομένους παραπέμψαι διηνεκῶς
ὡμολόγησαν. ὃ δὴ φαίνονται καὶ ἐς ἐμὲ δρῶντες. ἀκάτοις γὰρ ἰδίαις
τοὺς παρὰ θατέρου βασιλέως ἐς τὸν ἕτερον στελλομένους ἀγγέλους ναυ-
τιλλόμενοι παραπέμπουσι. φόρου μέντοι ὑποτελεῖς οὐδαμῇ γεγένηνται

1. ἂν *om. WvV; in parent. f* δέρρας *MCDmf (corr. in marg.), P* αὐτῇ *per* τῇ *CDmf (corr. in marg.), P* μηδία *WvV* 2. συλλήσας *D* ξυλήσας *WvV* 3. φάσιν *WvV* 4. τοῦ *per* τοὺς *WvV* 5. κατάλογον *m (corr.) f* 6. σαυνίτας *MCDmf (corr. in marg.), H* οἰκοῦσι *D* 6-7. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 7. δι᾽ ὅτι *W* 8. λαζοὶ *WvV* ἐπίσκωποι *D* εἰς ἱεροῖς *(sic) mf (corr.)* 9. ἐθέλοντες] *WvVL* ἐθέλουσιν *gli altri codd. e le edd.* τοὺς] *WvV* τούς τε *gli altri codd. e le edd.* 10. περὶ *Dmf (corr.)* στελομένους *D* παραπέμψειν *WvV* 11. ὁμολόγησα *D* 12. παρὰ θατέρου] *WvV* παρ᾽ ἑτέρου *gli altri codd. e le edd.* ἀγγέλλους *f (corr.)*

i Colchi confinanti con quei di Trebisonda; poichè a tale stregua parrebbe che Giasone dopo rapito con Medea il vello, non dovesse fuggire verso la Grecia e la sua patria, ma all' opposto verso il fiume Fasi ed i barbari dell' interno. Dicono che ai tempi di Traiano imperatore romano fossero stabiliti legionari romani colà fino ai Lazi ed ai Sagidi. Al tempo presente vi abita un popolo che non è soggetto nè all' imperatore romano nè al re dei Lazi, con questo soltanto che, sendo coloro Cristiani, i vescovi de' Lazi nominano i loro preti. Volonterosi di essere soci ed amici di ambedue, essi promisero di far da guide costantemente agli uni e agli altri quando si visitassero reciprocamente; e questo si veggon fare tuttavia oggidì, poichè colle proprie barche trasportano i messi spediti dall'un de' principi all' altro. Ma fino ad oggi non furono essi mai sog-

ἐς τόδε τοῦ χρόνου. τούτων δὲ τῶν χωρίων ἐν δεξιᾷ ὄρη τε λίαν ἀπότομα ἀποκρέμαται καὶ χώρα ἔρημος ἐπὶ πλεῖστον διήκει. καὶ αὐτῆς
B 467 δὴ ὕπερθεν οἱ Περσαρμένιοι καλούμενοι ᾤκηνται, καὶ Ἀρμένιοι οἳ Ῥωμαίων κατήκοοί εἰσι μέχρι ἐς τοὺς Ἰβηρίας ὅρους διήκοντες.

Ἐκ δὲ Ἀψαροῦντος πόλεως ἐς Πέτραν τε πόλιν καὶ τοὺς Λαζῶν 5
P 569 ὅρους, οὗ δὴ τελευτᾷ ὁ Εὔξεινος Πόντος, μιᾶς ἐστιν ἡμέρας ὁδός. ἀπολήγων δὲ ὁ Πόντος ἐνταῦθα μηνοειδῆ τίθεται τὴν ἀκτήν. καὶ ὁ μὲν τοῦ μηνοειδοῦς τούτου διάπλους ἐς πεντήκοντά τε καὶ πεντακοσίους μάλιστα σταδίους διήκει, τὰ δὲ αὐτοῦ ὄπισθε ξύμπαντα Λαζική τέ ἐστι καὶ ὠνόμασται. μετὰ δὲ αὐτοὺς κατὰ τὴν μεσόγαιαν Σκυμνία 10 τε καὶ Σουανία ἐστί. ταῦτα δὲ τὰ ἔθνη Λαζῶν κατήκοα τυγχάνει ὄντα. καὶ ἄρχοντας μὲν οἱ τῇδε ἄνθρωποι τῶν ὁμογενῶν τινας ἔχουσιν, ἐπειδὰν δὲ τῶν ἀρχόντων τινὶ ἐπιγένηται ἡ τέλειος ἡμέρα τοῦ βίου, ἕτερον αὐτοῖς ἀντικαθίστασθαι πρὸς τοῦ Λαζῶν βασιλέως ἐς ἀεὶ εἴθισται. ταύτης δὲ τῆς χώρας ἐκ πλαγίου μὲν παρ' αὐτὴν μάλιστα τὴν Ἰβηρίαν Μέσχοι 15

2. ἀποκρέμανται *MCDmf (corr. in marg.), H* 3. δὴ *om. WvVL; in parent. f* καὶ Ἀρμένιοι *om. WvV; in parent. f* 4. διήκονται *D* 9. ὄπισθεν *DWvV* λαζικῇ *D* τέ *om. WvV* 10. μεσόγαιαν] *B* μεσογαίαν *i codd., HP* σκυμνιᾶ *M* σκυμιᾶ *CDmf* σκυμία *WvVf (marg.), Reg , H* 11. σουανίαν *D* ἐστὶν *C* 12. ἄρχοντες *WvV* 13. δὴ *per* δὲ *WvVf (marg.) L*

getti a tributo. A destra di questo paese scendono monti dirupati a picco e si estende una vasta regione deserta, al di là della quale stanno i cosidetti Persarmeni, e gli Armeni che sono sottoposti ai Romani ed occupano tutto il paese fino ai confini della Iberia.

Dalla città di Apsarunte a quella di Petra ed ai confini dei Lazi ove termina il Ponto Eusino v' ha un giorno di cammino, e colà terminando viene il Ponto a formare una spiaggia di forma lunata. Il percorso per mare di questa spiaggia lunata abbraccia circa cinquecento cinquanta stadi, ed il paese tutto che trovasi dietro a quel littorale è quello che chiamasi la Lazica. Seguono poscia nell' interno la Scymnia e la Suania. Queste popolazioni sono soggette ai Lazi; hanno costoro pur certi capi di loro stirpe; ma quando alcuno di questi venga a morte è costumanza costante che chi lo sostituisca sia per essi nominato dal re dei Lazi. Lateralmente a questa regione, presso alla Iberia, stanno i Meschi, da

Ἰβήρων ἐκ παλαιοῦ κατήκοοι ᾤκηνται, τὰ οἰκία ἐν τοῖς ὄρεσιν ἔχοντες. ὄρη δὲ τὰ Μέσχων οὐ σκληρὰ οὐδὲ καρπῶν ἄφορά ἐστιν, ἀλλ' εὐθηνοῦσιν ἀγαθοῖς ἅπασιν, ἐπεὶ καὶ οἱ Μέσχοι γεωργοὶ δεξιοὶ ἄλλως τε καὶ ἐς ἀμπελῶνας τυγχάνουσιν ὄντες. ταύτῃ δὲ τῇ χώρᾳ ὄρη ἐπίκειται ἄγαν
5 τε ὑψηλὰ καὶ ἀμφιλαφῆ καὶ δεινῶς ἄβατα. καὶ ταῦτα μὲν ἄχρι ἐς τὰ Καυκάσια ὄρη διήκει· ὄπισθεν δὲ αὐτῶν πρὸς ἀνίσχοντα ἥλιον Ἰβηρία ἐστὶ, μέχρι ἐς Περσαρμενίους διήκουσα. διὰ δὲ τῶν ὀρῶν, ἃ ταύτῃ B 468 ἀνέχει, Φᾶσις ποταμὸς κάτεισιν, ἐκ τῶν Καυκασίων ἀρχόμενος καὶ κατὰ μέσον τὸ μηνοειδὲς τοῦ Πόντου ἐκβάλλει. ταύτῃ τε ἤπειρον
10 ἑκατέραν αὐτὸν διορίζειν τινὲς οἴονται. τὰ μὲν γὰρ ἐν ἀριστερᾷ κατιόντος τοῦ ῥοῦ Ἀσία ἐστὶ, τὰ δὲ ἐν δεξιᾷ Εὐρώπη ὠνόμασται. κατὰ V 182 μὲν οὖν τὴν τῆς Εὐρώπης μοῖραν ξύμπαντα Λαζῶν τὰ οἰκία ξυμβαίνει εἶναι, ἐπὶ θάτερα δὲ οὔτε πόλισμά τι οὔτε ἄλλο τι ὀχύρωμα οὔτε κώμην τινὰ λόγου ἀξίαν Λαζοὶ ἔχουσι, πλήν γε δὴ ὅτι Πέτραν Ῥωμαῖοι

1. οἰκεία *D* τοῖς *om. WvVL* ὄρεσι *D* 3. ἄλλως τε *om. WvVL* ἐς *om. WvVL* 4. ἀμπελῶνες *WvVL* ἐκεῖσε *per* ὄντες *WvVL* 5. ὑψυλὰ *D* 6. αὐτῶν *om. MCDmf (agg. di sec. m.)* 7. ὀρῶν *om. WvVL* ἀπαύτη *per* ἃ ταύτῃ *W* ἀπάτη *L* 8. Φᾶσις] *le edd.* φάσις *i codd.* καυκάσιον *D* 10. αὐτῶ *WvV* διορίζει *D* 10-11. *Le parole* γὰρ - τὰ δὲ *om. D* 11. καὶ τὰ *per* κατὰ *D* 12. οἰκεία *DL* 13. οὔτε - οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ - οὐδὲ *i codd., HP* οὐ πολίσματα *D* τι *prima di* οὔτε *om. WvVL; in parent. f*

antico tempo soggetti agli Iberi, ed abitano su monti i quali non sono aspri nè sterili, ma anzi feraci di ogni buon frutto, oltrechè i Meschi sono abili agricoltori e particolarmente coltivatori di vigne. A questa regione sovrastano monti eccelsi e selvosi di accesso sommamente difficile, i quali si estendono fino al Caucaso. Dietro ad essi, ad oriente trovasi la Iberia che va fino ai Persarmeni. Dalle montagne che colà si elevano scende il fiume Fasi, il quale prende origine dai monti del Caucaso e mette foce nel mezzo del semicerchio marittimo. Per tal guisa pensan taluni che esso divida i due continenti, poichè a sinistra della corrente che discende sta l'Asia, e la parte a destra chiamasi Europa. In quella parte che appartiene all' Europa trovansi tutte le dimore dei Lazi; dall' altra parte invece non hanno i Lazi città alcuna nè fortezza nè villaggio di qualche importanza; non v' ha che Petra, cui già

ἐνταῦθα ἐδείμαντο πρότερον. κατὰ ταύτην δέ που τῆς Λαζικῆς μοῖραν
ἀπέκειτο, ὥσπερ οἱ ἐπιχώριοι λέγουσι, καὶ τὸ δέρας ἐκεῖνο, οὗπερ
ἕνεκα οἱ ποιηταὶ τὴν Ἀργὼ ἀποτετορνεῦσθαι μυθολογοῦσι. λέγουσι
δὲ ταῦτα, ἐμὴν γνώμην, ἀληθιζόμενοι ἥκιστα. οὐ γὰρ ἂν οἶμαι λαθὼν
τὸν Αἰήτην Ἰάσων ἐνθένδε ἀπηλλάσσετο ξὺν τῇ Μηδείᾳ τὸ δέρας 5
ἔχων, εἰ μὴ τά τε βασίλεια καὶ τὰ ἄλλα τῶν Κόλχων οἰκία τοῦ χωρίου
διείργετο Φάσιδι ποταμῷ ἵνα δὴ τὸ δέρας ἐκεῖνο κεῖσθαι ξυνέβαινεν,
ὃ δὴ καὶ οἱ ποιηταὶ παραδηλοῦσιν οἱ τὰ τοιαῦτα ἀναγραψάμενοι. ὁ
μὲν οὖν Φᾶσις τῇδε φερόμενος, ᾗπέρ μοι δεδιήγηται, ἐς αὐτόν που
λήγοντα ἐμβάλλει τὸν Εὔξεινον Πόντον. τοῦ δὲ μηνοειδοῦς κατὰ μὲν 10
τὴν μίαν ἀρχὴν, ᾗ τῆς Ἀσίας ἐστὶ, Πέτρα ἡ πόλις ἐτύγχανεν οὖσα,
ἐν δὲ δὴ τῇ ἀντιπέρας ἀκτῇ κατὰ τὴν τῆς Εὐρώπης μοῖραν Ἀψιλίων
ἡ χώρα ἐστί· Λαζῶν δὲ κατήκοοί εἰσι καὶ Χριστιανοὶ γεγόνασιν ἐκ

1. δέ που τῆς] *WvV* δέ που τὴν *f (marg) L* δὲ τὴν *gli altri codd. e le edd.* 2. ἐπέκειτο *D* δέρρας *MCmf (corr. in marg.), P* 4. ἥκιστα *om. MCDmf (agg. in marg.)* 5. ἀπηλάσσετο *W* τῷ *per* τῇ *D* μηδία *WvV* δέρρας *MCmf (corr. in marg.), P* 6. κολχῶν *WvV* οἰκεῖα *f (in marg.), Reg.* οἰκεία *L* τοῦ χωρίου] *WvV; om. gli altri codd. (f* [χωρίου]*) e le edd.* 7. φάσινδι *W* δέρρας *MCmf (corr. in marg.), P* ξυναίβαινεν *W* 9. φάσις *MCWvVmf* 9-10. *Le parole* Φᾶσις - Εὔξεινον *om. D solo segnando invece* τῇδε φεύον 10. ἐκβάλλει *WvV* 11. οὐσίας *per* Ἀσίας *W* 12. τῆς *om. WvL*

i Romani edificarono. Da questa parte della Lazica, al dire degli indigeni, trovavasi quel vello, a cagion del quale favoleggiano i poeti fosse costruita la nave Argo; ma nel dir ciò essi, a mio credere, non sono nel vero; poichè io penso che Giasone portandosi il vello con Medea non avrebbe potuto andarsene di là, nascondendosi ad Eete, se il fiume Fasi non avesse separato dalla reggia e dalle altre abitazioni dei Colchi il luogo ove quel vello trovavasi, come indicano anche i poeti che questi fatti descrissero. Ordunque il Fasi, scorrendo secondo io esposi, va a sboccare nel Ponto Eusino là dove questo si termina. Su quella estremità del littorale lunato che appartiene all'Asia è situata la città di Petra. Sulla riva opposta, nella parte europea, trovasi il paese degli Apsili. Questi sono soggetti ai Lazi e Cristiani

παλαιοῦ οἱ Ἀψίλιοι, ὥσπερ καὶ τἄλλα ξύμπαντα ἔθνη, ὧνπερ ἐμνήσθην B 469
ἐς τόδε τοῦ λόγου.

γ'. Ταύτης δὲ τῆς χώρας καθύπερθεν ὄρος τὸ Καυκάσιόν ἐστι. P 570
τοῦτο δὲ τὸ ὄρος, ὁ Καύκασος, ἐς τοσόνδε ὕψους ἀνέχει, ὥστε δὴ
5 αὐτοῦ τῶν μὲν ὑπερβολῶν οὔτε ὄμβρους οὔτε νιφετοὺς ἐπιψαύειν ποτέ. H 321
τῶν γὰρ νεφελῶν αὐτὰς ἁπασῶν καθυπερτέρας ξυμβαίνει εἶναι. τὰ δὲ
μέσα μέχρι τῶν ἐσχάτων χιόνων ἔμπλεα διηνεκῶς ἐστι. καὶ ἀπ' αὐτοῦ
οἱ πρόποδες ὑψηλοὶ ἐς ἄγαν τυγχάνουσιν ὄντες, οὐδέν τι καταδεέστερον
τῶν ἐν τοῖς ὄρεσι τοῖς ἄλλοις σκοπέλων. τῶν δὲ τοῦ Καυκασίου ὄρους
10 προπόδων οἱ μὲν πρός τε βορρᾶν ἄνεμον καὶ ἥλιον δύοντα τετραμμένοι
ἔς τε Ἰλλυριοὺς καὶ Θρᾷκας διήκουσιν, οἱ δὲ πρὸς ἀνίσχοντα ἥλιον
καὶ ἄνεμον νότον ἐς τὰς διεξόδους ἐξικνοῦνται αὐτάς, αἳ τὰ τῇδε ᾠκημένα Οὐννικὰ ἔθνη· ἐς γῆν τὴν τῶν Περσῶν καὶ Ῥωμαίων ἄγουσιν.
ὧνπερ ἁτέρα μὲν Τζοὺρ ἐπικέκληται, ἡ δὲ δὴ ἑτέρα πύλη ἐκ παλαιοῦ
15 Κασπία ἐκλήθη. ταύτην δὲ τὴν χώραν, ἢ ἐξ ὄρους τοῦ Καυκασίου

1. ἐμνήσθην] *W v V f (in marg.), Reg.* ἐπεμνήσθην *gli altri codd. e le edd.* 4. καυκάσιος *W v V* ὕψος *W v V f (marg.), Reg.* δι' *W v V L* 5. νίφως τοὺς *D* 6. νεφῶν *M C D m f (corr. in marg.), H* 7. ἄμπλεα *D* διὴνεκές *W* διηνεκές *v V f (marg.), Reg.* 8. ὑψυλοὶ *D* καταδεέστεροι *W v V* 10. βορὰν *D* 11. ἔς τες *W* πρός τε *W v V L* 12. ἔς τε τὰς *D* ἐξόδους *W v V f (marg.)* 13. τήν τε περ. *W v V* ἄγουσι *D* 15. ἐκλίθη *D* ἐξόδους *per* ἐξ ὄρους *Reg.* καυκάσου *W v V*

da assai tempo, come pure tutte le altre popolazioni fin qui rammentate.

III. Al di là di questa regione trovasi il Caucaso. Questo monte si eleva a tale altezza che mai le sue cime non son tocche nè da pioggia nè da neve, poichè sono più alte di qualsivoglia nube; il di mezzo è fino in fondo sempre coperto di neve, e quindi i gioghi delle falde sono alti non meno delle somme vette di altri monti. Di questi gioghi del Caucaso quelli a settentrione e ad occidente vanno fino all' Illirico ed alla Tracia; quelli ad oriente ed a mezzodì giungono a quei valichi pei quali le popolazioni unne colà abitanti penetrano nel territorio persiano e romano, de' quali uno chiamasi la Porta Tzur; l' altro ha l' antico nome di Porta Caspia. Quella regione che dal Cau-

ἄχρι ἐς τὰς Κασπίας κατατείνει πύλας, Ἀλανοὶ ἔχουσιν, αὐτόνομον ἔθνος, οἳ δὴ καὶ Πέρσαις τὰ πολλὰ ξυμμαχοῦσιν, ἐπί τε Ῥωμαίους καὶ ἄλλους πολεμίους στρατεύουσι. τὰ μὲν οὖν ἀμφὶ τῷ ὄρει τῷ Καυκασίῳ ταύτῃ πη ἔχει.

Οὖννοι δὲ, οἳ Σάβειροι ἐπικαλούμενοι, ἐνταῦθα ᾤκηνται καὶ ἄλλ' ἄττα 5
B 470 Οὐννικὰ ἔθνη. ἐνθένδε μὲν τὰς Ἀμαζόνας ὡρμῆσθαί φασιν, ἀμφὶ δὲ τὸ Θεμίσκυρον καὶ ποταμὸν τὸν Θερμώδοντα ἐνστρατοπεδεύσασθαι, ᾗπέρ μοι ἔναγχος εἴρηται, οὗ δὴ πόλις ἐν τῷ παρόντι Ἀμισός ἐστι. τανῦν δὲ οὐδαμῆ τῶν ἀμφὶ τὸ Καυκάσιον ὄρος χωρίων Ἀμαζόνων τις μνήμη ἢ ὄνομα διασώζεται, καίτοι καὶ Στράβωνι καὶ ἄλλοις τισὶ λόγοι 10 ἀμφ' αὐταῖς πολλοὶ εἴρηνται. ἀλλά μοι δοκοῦσι μάλιστα πάντων τά γε κατὰ τὰς Ἀμαζόνας ξὺν τῷ ἀληθεῖ λόγῳ εἰπεῖν, ὅσοι ἔφασαν οὐ πώποτε γένος γυναικῶν ἀνδρεῖον γεγονέναι, οὐδὲ ὄρει μόνῳ τῷ Καυ-

1. κατατίνειν τὰς πύλ. *D* κατατείνι *IV* 3. ὄρη *D* 4. πῆ *D* 5. οὖν οἱ *D* οὖνοι *IV* οἳ] *IVvV* οἱ καὶ *gli altri codd.* (καὶ οἱ *D*) *e le edd.* σάβιροι *IVvV* ἐπικαλούμενοι] *IVvVf (marg.), Reg.* καλούμενοι *gli altri codd. e le edd.* ἄλλάττα *Cmf (corr.)* ἄλλα τὰ *D* ἄλλα ἄττα *IVvV* 6. οὐνικὰ *D* ἐνθεύδεν *IV* τοὺς *D* ἀμαζόνας *V* ὡρμεῖσθαι *Me* ὁρμεῖσθαι *CDIVvVmf* φασὶν *MeCDVmf (corr.)* 7. θεμίσκουρον *IVvVf (marg.), Reg.* θερμόδοντα *IVvV* 8. *Le parole* ᾗπέρ – εἴρηται *om. e* ἔναχος *IVv* 8-9. *Le parole* ἐν τῷ – ἀμφὶ *om. D* 8. ἀμινσός *MeCmf (corr. in marg.), H* 9. ἀμαζόνων *V* 10. καί τι *IV* τισίν *e* 11. δοκοῦσιν *D* 12. ἀμαζόνας *V* 13. πῶποτε *CDmf (corr.)* ἀνδρείων *IVvVL*

caso va alla Porta Caspia è abitata dagli Alani, popolo indipendente spesso alleatosi coi Persiani e solito a muover guerra ai Romani e ad altri suoi nemici. E tanto sia detto del monte Caucaso.

Ivi abitano quegli Unni che sono soprannomati Sabiri e talune altre popolazioni unne. E di là dicono che uscisser le Amazzoni e ponessero il campo presso Temisciro ed il fiume Termodonte, come io testè dissi, ove presentemente trovasi la città di Amiso. Oggidì, però, non rimane alcuna memoria nè il nome delle Amazzoni nei paesi circostanti al Caucaso, quantunque Strabone ed altri molto di esse discorrono. A me tuttavia sembra più d' ogni altra verosimile l' idea di coloro che dissero non esservi mai stata una stirpe di donne virili, nè la natura umana nel solo monte Cau-

κασίῳ τὴν τῶν ἀνθρώπων φύσιν θεσμῶν τῶν οἰκείων ἐξίστασθαι, ἀλλὰ
βαρβάρους ἐκ τῶνδε τῶν χωρίων στρατῷ μεγάλῳ ξὺν γυναιξὶ ταῖς
αὐτῶν ἰδίαις ἐπὶ τὴν Ἀσίαν στρατεῦσαι, στρατόπεδόν τε ἀμφὶ ποταμὸν
Θερμώδοντα ποιησαμένους ἐνταῦθα μὲν τὰς γυναῖκας ἀπολιπεῖν, αὐτοὺς
5 δὲ γῆν τῆς Ἀσίας τὴν πολλὴν καταθέοντας, ὑπαντιασάντων σφίσι τῶν
τῇδε ᾠκημένων, ἅπαντας ἐξ ἀνθρώπων ἀφανισθῆναι, οὐδένα τε αὐτῶν
τὸ παράπαν ἐπανήκειν ἐς τῶν γυναικῶν τὸ χαράκωμα. καὶ τὸ λοιπὸν
ταύτας δὴ τὰς γυναῖκας, δέει τε τῶν περιοίκων καὶ ἀπορίᾳ τῶν ἀναγκαίων
ἀναγκασθείσας, τό τε ἀρρενωπὸν ἀμφιέσασθαι οὔ τι ἐθελουσίας καὶ
10 ἀνελομένας τὴν πρὸς τῶν ἀνδρῶν ἐν τῷ στρατοπέδῳ ἀπολελειμμένην V 183
τῶν ὅπλων σκευήν, καὶ ταύτῃ ἐξωπλισμένας ὡς ἄριστα ἔργα ἀνδρίας P 571
ξὺν ἀρετῇ ἐπιδείξασθαι, διωθουμένης ἐς τοῦτο αὐτὰς τῆς ἀνάγκης, ἕως
δὴ ἁπάσαις διαφθαρῆναι ξυνέπεσε. ταῦτα δὲ ὧδέ πῃ γεγονέναι καὶ
ξὺν τοῖς ἀνδράσι τὰς Ἀμαζόνας στρατεύσασθαι καὶ αὐτὸς οἴομαι, B 471
15 τεκμηριούμενος οἷς δὴ καὶ χρόνῳ τῷ κατ᾽ ἐμὲ ξυνηνέχθη γενέσθαι.

2. στρατεύματι *f (marg.), Reg.* στρα|μεγάλω *W* 3. στρατόπαιδόν *W* 4. θερμόδοντα *W v V* 5. τὴν γῆν *D* 6. ὠλημένων *D (corr.)* 7. καὶ *om. D* τολοιπὸν *M C D W v m f* 8. τε *om. W v V* ἐπιτηδείων *per* ἀναγ. *W v V f (marg.), Reg.* 9. ἀμφιέσεσθαι *W (corr. di m. rec.) v V* οὔτοι *W v V* 10. ἀνελομένοις *W* λελειλεμένην *D (corr.)* 11. καὶ *om. W v V* ἐξοπλισαμένας *Me C W v V m f, P* ἀνδρίας] *v V* ἀνδρίαν *W* τὰ ἀνδρεῖα *gli altri codd. e le edd.* 13. ἁπάσας *e D* ξυνέπεσεν *e* 14. ἀμαζόνας *V* στρατεύεσθαι *Me C D m f (corr. in marg.), H*

caso esser venuta meno alle proprie leggi; ma che da questi paesi un grande esercito di barbari insieme colle loro mogli muovesse in guerra contro l'Asia, e posto accampamento presso il fiume Termodonte ivi lasciassero le loro donne; essi poi, datisi a percorrere gran parte dell'Asia, affrontati colà dagli indigeni, tutti fossero messi a morte, talchè niuno di loro mai più tornasse al campo delle mogli; e quindi in seguito queste donne, costrette dal timore dei vicini e dalla mancanza del vitto, assumessero, loro malgrado, indole ed abito virile; e prese le armi lasciate dai mariti nel campo ed armatesi di quelle, compiessero bellissime prodezze di valore, a tanto spingendole la necessità, finchè tutte furono trucidate. Che così andasse la cosa e le Amazzoni seguissero in guerra i loro mariti anch' io lo credo, rilevandolo da

τὰ γὰρ ἐπιτηδεύματα μέχρι ἐς τοὺς ἀπογόνους παραπεμπόμενα τῶν προγεγενημένων τῆς φύσεως ἴνδαλμα γίνεται. Οὔννων τοίνυν καταδραμόντων πολλάκις τὴν Ῥωμαίων ἀρχήν, τοῖς τε ὑπαντιάσασιν ἐς χεῖρας ἐλθόντων, τινὰς μὲν αὐτῶν πεσεῖν ἐνταῦθα τετύχηκε, μετὰ δὲ τῶν βαρβάρων τὴν ἀναχώρησιν Ῥωμαῖοι διερευνώμενοι τῶν πεπτωκότων 5 τὰ σώματα καὶ γυναῖκας ἐν αὐτοῖς εὗρον. ἄλλο μέντοι γυναικῶν στράτευμα οὐδαμῆ τῆς Ἀσίας ἢ τῆς Εὐρώπης ἐπιχωριάζον ἐφάνη. οὐ μὴν οὐδὲ τὰ Καυκάσια ὄρη ἀνδρῶν ἔρημα γεγενῆσθαι πώποτε ἀκοῇ ἴσμεν. περὶ μὲν οὖν τῶν Ἀμαζόνων τοσαῦτα εἰρήσθω.

Μετὰ δὲ Ἀψιλίους τε καὶ τοῦ μηνοειδοῦς τὴν ἑτέραν ἀρχὴν ἐς 10 τὴν παραλίαν Ἀβασγοὶ ᾤκηνται, ἄχρι ἐς τὰ Καυκάσια ὄρη διήκοντες. οἱ δὲ Ἀβασγοὶ Λαζῶν μὲν κατήκοοι ἐκ παλαιοῦ ἦσαν, ἄρχοντας δὲ ὁμογενεῖς δύο ἐς ἀεὶ εἶχον. ὧν ἅτερος μὲν ἐς τῆς χώρας τὰ πρὸς ἑσπέραν, ὁ δὲ δὴ ἕτερος ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον ἵδρυτο. οἱ δὲ

1. τὰ δὲ γ. *MeCDmf (corr. in marg.), H* 2. ἴνδαμα (λ sopra) *W* γίνεσθαι *Me CDmf (corr.)* οὔνων *W* 3. τὴν τῶν ῥωμ. *e* ἀρχὴν *om. L* 4. τετύχηκε *om. D* 5. τὴν τῶν βαρβ. τὴν *WvV* τὴν τῶν βαρβ. ἀναχ. *f (marg.) L* πεπτοκων *D (corr.)* 6. ἐν *om. MCDmf (agg. in marg.)* 8. ποτε *e* πῶποτε *Cmf (corr.)* 9. ἀμαζόνων *V* 13. ὁμογενῆς *D* τὰς *per* τῆς *f (marg.), Reg.* τὰς *per* τὰ *f (corr.), Reg.* 14. ἵδρυντο *MCDmf (corr. in marg.), P*

quanto avvenne anche a' miei tempi; poichè le usanze tramandate fino ai lontani nipoti sono segno della natura degli antenati. Infatti quando gli Unni spesse volte invasero l' impero romano e vennero a battaglia con quei che li affrontavano, parte di loro vi rimase morta e, ritiratisi i barbari, i Romani esaminando i cadaveri de' caduti vi trovaron fra loro anche donne. Certo però mai altro esercito di donne non si vide stabilito nè in Asia nè in Europa; nè abbiam notizia che i monti del Caucaso mai rimanessero deserti di uomini. E tanto sia detto delle Amazzoni.

Al di là degli Apsili e dell' altra estremità del semicerchio, il littorale è abitato dagli Abasghi, che si estendono fino al Caucaso. Già in antico tempo gli Abasghi furono soggetti ai Lazi, ed aveano due principi di loro stirpe, de' quali uno teneva la parte occidentale del paese, l' altro l' orientale, e questi barbari

βάρβαροι οὗτοι μέχρι μὲν καὶ ἐς ἐμὲ ἄλση τε καὶ ὕλας ἐσέβοντο. θεοὺς γὰρ τὰ δένδρα βαρβάρῳ τινὶ ἀφελείᾳ ὑπώπτευον εἶναι. πρὸς δὲ τῶν ἐν σφίσιν ἀρχόντων τὰ δεινότατα διὰ φιλοχρηματίας μέγεθος ἔπασχον. ἄμφω γὰρ αὐτῶν οἱ βασιλεῖς, ὅσους ἂν παῖδας ἐν τούτῳ
5 τῷ ἔθνει ἀγαθούς τε τὴν ὄψιν καὶ τὸ σῶμα καλοὺς ἴδοιεν, τούτους δὴ ὀκνήσει οὐδεμιᾷ ἐκ τῶν γειναμένων ἀφέλκοντες εὐνούχους τε ἀπεργαζόμενοι ἀπεδίδοντο ἐς τῶν Ῥωμαίων τὴν γῆν τοῖς ὠνεῖσθαι βουλομένοις χρημάτων μεγάλων. τούς τε αὐτῶν πατέρας ἔκτεινον εὐθύς, τοῦ μή αὐτῶν τινας τίσασθαί ποτε τῆς ἐς τοὺς παῖδας ἀδικίας τὸν
10 βασιλέα ἐγχειρεῖν, μηδὲ ὑπόπτους αὐτοῖς τῶν κατηκόων τινὰς ἐνταῦθα εἶναι. ἥ τε τῶν υἱέων εὐμορφία σφίσιν ἐς τὸν ὄλεθρον ἀπεκρίνετο. διεφθείροντο γὰρ οἱ ταλαίπωροι, παίδων θανάσιμον δεδυστυχηκότες εὐπρέπειαν. καὶ ἀπ' αὐτοῦ τῶν ἐν Ῥωμαίοις εὐνούχων οἱ πλεῖστοι καὶ οὐχ ἥκιστα ἐν τῇ βασιλέως αὐλῇ γένος Ἀβασγοὶ ἐτύγχανον ὄντες.
15 ἐπὶ τούτου δὲ Ἰουστινιανοῦ βασιλεύοντος ἅπαντα Ἀβασγοῖς ἐπὶ τὸ

B 472

H 322

1. καὶ *dopo* μὲν *om. WvVL; in parent. f (di sec. m.)* μὲν *per* ἐμὲ *(sic) D* 2. ὑπόπτευον *WvV* 7. τῶν *om. WvV* ὀνεῖσθαι *vV* 8. τούτους τε *WL* ἔθυον *per* ἔκτεινον *WvVL* 9. ποτὲ τοὺς ἐς τοὺς *WvV* 11. ἀπεκρίνατο *DWvV* 12. παί|θανάσιμον *W* θανασίμην *MCDmf (corr. in marg.), P* δυστυχηκότες *MCmf (corr.)* 12-13. δυστηχηκότες εὐτρέπεια *D* 14. καὶ *om. D, HP* αὐλὴ *D*

fino al mio tempo adoravano boschi e selve, con semplicità barbarica stimando che gli alberi fossero divinità. La grande avidità dei loro principi li tormentava aspramente; poichè ambedue i loro re quanti fanciulli di lor nazione vedessero avvenenti di volto e belli di corpo, senza esitare strappatili ai genitori, li rendevano eunuchi e li vendevano a gran prezzo nell'impero romano a chi volesse comprarli. I padri poi tosto uccidevano, perchè niuno di loro movesse l'imperatore a punire l'ingiuria fatta ai figliuoli, e per non avere alcun malintenzionato fra i loro soggetti; talchè la bellezza dei figli risultava in perdizione dei padri. Erano infatti uccisi quegli infelici per la sventura della mortifera bellezza dei figli loro. Così avveniva che la maggior parte degli eunuchi, ed anche nella stessa reggia imperiale, fossero di nazione Abasghi. Sotto il presente imperatore Giustiniano però ogni cosa mutò per

ἡμερώτερον τετύχηκε μεταμπίσχεσθαι. τά τε γὰρ Χριστιανῶν δόγματα εἵλοντο καὶ αὐτοῖς Ἰουστινιανὸς βασιλεὺς τῶν τινα ἐκ παλατίου εὐνοῦχον στείλας, Ἀβασγὸν γένος, Εὐφρατὰν ὄνομα, τοῖς αὐτῶν βασιλεῦσι (P 572) διαρρήδην ἀπεῖπε μηδένα τὸ λοιπὸν ἐν τούτῳ τῷ ἔθνει τὴν ἀρρενωπίαν ἀποψιλοῦσθαι, σιδήρῳ βιαζομένης τῆς φύσεως. ὃ δὴ ἄσμενοι (5) Ἀβασγοὶ ἤκουσαν. καὶ τῇ τοῦ Ῥωμαίων βασιλέως διατάξει θαρροῦντες ἤδη τὸ ἔργον τοῦτο σθένει παντὶ διεκώλυον. ἐδεδίει γὰρ αὐτῶν ἕκαστος μή ποτε παιδίου πατὴρ εὐπρεποῦς γένηται. τότε δὴ Ἰουστινιανὸς βασιλεὺς καὶ ἱερὸν τῆς Θεοτόκου ἐν Ἀβασγοῖς οἰκοδομησάμενος, (B 473) ἱερεῖς τε αὐτοῖς καταστησάμενος, διεπράξατο ἅπαντα αὐτοὺς ἤθη τῶν (10) Χριστιανῶν ἐκδιδάσκεσθαι, τούς τε βασιλεῖς ἄμφω Ἀβασγοὶ καθελόντες αὐτίκα ἐν ἐλευθερίᾳ βιοτεύειν ἐδόκουν. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε.

1. μετὰ πίσχεσθαι *D* 2-3. εὐνούχων *WvVL* 3. Εὐφρατὰν] *MCWvV mf, HP* εὐφραντὰ *D* εὐφράνταν *L* εὐφραντὰν *f (marg.), Reg., B* 4. ἀπεῖπε] *WvV, van Herwerden* ἐπεῖπε *gli altri codd.* (ἐπεῖπεν *D*) *e le edd.* τολοιπὸν *MCDWvmf* ἔθνη *W* 4-5. ἀρενοποιίαν *D* 5. οἷ *WvV* 6. τῶν *per* τοῦ *D* ἐπιτάξει *WvVf (marg.), Reg.* 6-7. θαροῦντες *W* 7. αὐτούς *WvV* 8. δὴ *om. MCDmf (agg. in marg.)* 12. βιωτεύειν *MCDm* 13. ἐχώρησαν *MCDmf (corr. in marg.), H*

gli Abasghi, divenendo più mite; poichè essi abbracciarono la fede cristiana, e l'imperatore Giustiniano mandò presso di loro un eunuco del palazzo, abasgo di nazione, e di nome Eufrata, a dire perentoriamente ai loro re che mai più alcuno in quella nazione fosse privato della virilità violentando la natura col ferro. Tale annunzio riuscì ben gradito agli Abasghi, e forti dell'ordinanza dell'imperatore romano si opposero ormai a tutto potere al compiersi di atti tali; poichè per ognun di loro era un timore il divenir padre di un bel figliuolo. L'imperatore Giustiniano edificò anche un tempio della Madre di Dio presso gli Abasghi, ed assegnati loro dei sacerdoti fece che venissero istruiti in tutti i riti cristiani; e gli Abasghi, tolti subito di mezzo i due re, vollero vivere in libertà. Tali le cose colà avvenute.

δ'. Μετὰ δὲ τοὺς Ἀβασγῶν ὅρους κατὰ μὲν τὸ ὄρος τὸ Καυκάσιον V 184
Βροῦχοι ᾤκηνται, Ἀβασγῶν τε καὶ Ἀλανῶν μεταξὺ ὄντες. κατὰ δὲ
τὴν παραλίαν Πόντου τοῦ Εὐξείνου Ζῆχοι ἵδρυνται. τοῖς δὲ δὴ Ζήχοις
τὸ μὲν παλαιὸν ὁ Ῥωμαίων αὐτοκράτωρ βασιλέα καθίστη, τὸ δὲ νῦν
5 οὐδ' ὁτιοῦν Ῥωμαίοις ἐπακούουσιν οἱ βάρβαροι οὗτοι. μετὰ δὲ αὐτοὺς
Σαγίναι μὲν οἰκοῦσι, μοῖραν δὲ αὐτῶν τῆς παραλίας Ῥωμαῖοι ἐκ πα-
λαιοῦ ἔσχον. φρούριά τε δειμάμενοι ἐπιθαλασσίδια δύο, Σεβαστόπολίν
τε καὶ Πιτυοῦντα, δυοῖν ἡμέραιν ὁδῷ ἀλλήλοιν διέχοντα, φρουρὰν ἐν-
ταῦθα στρατιωτῶν τὸ ἐξ ἀρχῆς κατεστήσαντο. τὰ μὲν γὰρ πρότερα
10 κατάλογοι Ῥωμαίων στρατιωτῶν ἐς τὰ ἐπὶ τῆς ἀκτῆς πάντα χωρία ἐκ
τῶν Τραπεζοῦντος ὁρίων ἄχρι ἐς τοὺς Σαγίνας εἶχον, ἧπέρ μοι εἴρηται·
νῦν δὲ μόνα τὰ δύο ταῦτα φρούρια ἐλέλειπτο σφίσιν, οὗ δὴ τὰ φυ-
λακτήρια καὶ ἐς ἐμὲ εἶχον, ἐπειδὴ Χοσρόης, ὁ Περσῶν βασιλεύς, Λαζῶν

1. τὸ *prima di* ὄρος *om. WvV* 2. ἀλαμανῶν *MDmf, H* ἀλα||||ν *C*
3. Ζῆχοι] *WvVf (marg.), Reg.* ζήκχοι *D* ζῆκχοι *gli altri codd. e le edd.* δὴ
om. MCmf (agg. di sec. m.), HP Ζήχοις] *vVf (marg.), Reg.* ζῆχοις *W* ζηκι-
χοις *(sic) mf* ζήκχοις *gli altri codd. e le edd.* 4. μὲν τὸ π. *MCmf, P* κατὰ
μὲν π. *WvVL* 5. οὐδ' ὅτι δ' οὖν *D* 6. Σαγίναι] *MCDmf, H* σαγῆναι
WvVL Σαγίδαι *PB* παραλείας *D* 7. σεβαστοπολίτην *D* 8. τε *om. D*
πυτιοῦντα *MCmf* ποιοῦντα *D* πιτιοῦντα *WvV* δυεῖν *WvV* 10 ἐς *om.*
Dmf (agg. in marg.) 11. Σαγίνας] *i codd., H* Σαγίδας *PB* 12. φρούρια
om. f (agg. in marg.) ἐλέλειπται *MCDmf (corr. in marg.)* 13. καὶ *om.*
MCDmf, HP ἐπειδὴ δὲ *MCDmf, HP*

IIII. Al di là dei confini degli Abasghi, verso il Caucaso, abitano i Bruchi, che stanno di mezzo fra gli Abasghi e gli Alani. E sul littorale del Ponto Eusino sono stabiliti gli Zechi, de' quali un tempo il re era nominato dall' imperatore romano. Oggidì però questi barbari non ubbidiscono in alcuna cosa ai Romani. Al di là di questi stanno i Sagini, il paese dei quali nella parte marittima fu tenuto un tempo dai Romani, e questi costruirono due castelli sul mare, Sebastopoli e Pityunte, distanti fra di loro un dì di cammino, e dapprima poser colà un presidio militare; poichè un tempo, come già dissi, tutti i paesi del littorale, dal confine di Trebisonda ai Sagini, erano occupati da legionari romani. Ora però ad essi non rimangono che questi due castelli, ove tenner presidio fino al mio tempo, quando il re

αὐτὸν ἐπαγαγομένων ἐς τὴν Πέτραν στράτευμα Περσῶν ἐνταῦθα στέλλειν ἐν σπουδῇ εἶχε, τούς τε τὰ φρούρια ταῦτα καθέξοντας καὶ καθιζησομένους ἐν τοῖς ἐνταῦθα φυλακτηρίοις. ἅπερ ἐπεὶ οἱ Ῥωμαίων
B 474 στρατιῶται προμαθεῖν ἴσχυσαν, προτερήσαντες τάς τε οἰκίας ἐνέπρησαν καὶ τὰ τείχη ἐς τὸ ἔδαφος καθελόντες ἔς τε τὰς ἀκάτους μελλήσει 5 οὐδεμιᾷ ἐσβάντες ἐς ἤπειρον εὐθὺς τὴν ἀντιπέρας καὶ Τραπεζοῦντα πόλιν ἐχώρησαν, ζημιώσαντες μὲν τῇ τῶν φρουρίων διαφθορᾷ τὴν Ῥωμαίων ἀρχὴν, κέρδος δὲ αὐτοὶ πορισάμενοι μέγα, ὅτι δὴ τῆς χώρας ἐγκρατεῖς οὐ γεγόνασιν οἱ πολέμιοι. ἄπρακτοι γὰρ ἀπ' αὐτοῦ ἐς τὴν Πέτραν ἀνέστρεφον Πέρσαι. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι. 10

Ὑπὲρ δὲ Σαγίνας Οὐννικὰ ἔθνη πολλὰ ἵδρυνται. τὸ δ' ἐντεῦθεν Εὐλυσία μὲν ἡ χώρα ὠνόμασται, βάρβαροι δὲ αὐτῆς ἄνθρωποι τά τε
P 573 παράλια καὶ τὴν μεσόγειον ἔχουσι, μέχρι ἐς τὴν Μαιῶτιν καλουμένην λίμνην καὶ ποταμὸν Τάναϊν, ὃς δὴ ἐς τὴν λίμνην ἐσβάλλει. αὕτη δὲ

1. αὐτῶν *WvVL* ἐς *om. WvVL; in parent. f* 2. εἶχε] *WvV, Reg.* ἔσχε *gli altri codd. e le edd.* κατέξονται *D* 2-3. κατεζομένους *D* 3. ἐν τοῖς *ripete M* 4. πρὸς μαθεῖν *W* προς μαθεῖν *f (marg.) L* τε τὰς *MCDm f, H* 5. μελήσει *MCWvVmf (corr.)* μέλει *D* 6. τοῦ *WvV* 7. ζημειώσαντες *D* τὴν *per* τῇ *D* διαφθορὰν *D* 8. ὅτι *om. D* 9. ἐγκρατεῖν *W (corr.)* 10. τῇδε *om. D* 11. ὕπερθεν *WvVf (marg.), Reg.* Σαγίνας] *MCDmf (in marg.* σαγίδας*) L, H* σαγίδας *WvV, PB* οὐνικὰ *D* δὲ *D* 12. τῆς αὐτῆς *f (corr.)* 13. μεσόσειον *W* 14. τάναιον *f (corr.)*

di Persia, Chosroe, invitato a Petra dai Lazi, mirava a mandar colà delle truppe persiane che s' impadronissero di quei castelli e si stabilissero a presidio di quelli. I soldati romani però avuto a tempo sentore della cosa, e prevenendola, miser fuoco alle case, rasero al suolo le mura, e senza indugio, saliti sulle barche, passarono sul continente opposto nella città di Trebisonda; i quali, in vero, colla iattura dei castelli procacciata all' impero romano, procacciarongli pure il grande vantaggio che i nemici non s' impadronissero del paese; poichè dietro quel fatto i Persiani senza nulla aver concluso tornaronsene a Petra. E tanto avvenne colà.

Al di là dei Sagini hanno lor sede parecchie popolazioni unne. Segue poi una regione che chiamasi Eulysia, la quale, così nella parte marittima come nella parte interna, è abitata da barbari fino alla cosidetta palude Meotide ed al fiume Tanai,

ἡ λίμνη ἐς τὴν ἀκτὴν Πόντου τοῦ Εὐξείνου τὰς ἐκβολὰς ποιεῖται.
ἄνθρωποι δέ, οἳ ταύτῃ ᾤκηνται, Κιμμέριοι μὲν τὸ παλαιὸν ὠνομάζοντο,
τανῦν δὲ Οὐτίγουροι καλοῦνται. καὶ αὐτῶν καθύπερθεν ἐς βορρᾶν
ἄνεμον ἔθνη τὰ Ἀντῶν ἄμετρα ἵδρυνται. παρὰ δὲ τὸν χῶρον αὐτόν,
5 ὅθεν ἡ τῆς λίμνης ἐκβολὴ ἄρχεται, Γότθοι οἱ Τετραξῖται καλούμενοι
ᾤκηνται, οὐ πολλοὶ ὄντες, οἳ δὴ τὰ Χριστιανῶν νόμιμα σεβόμενοι πε-
ριστέλλουσιν οὐδενὸς ἧσσον. Τάναϊν δὲ καλοῦσιν οἱ ἐπιχώριοι καὶ
τὴν ἐκβολὴν ταύτην, ἐκ λίμνης ἀρξαμένην τῆς Μαιώτιδος ἄχρι ἐς τὸν
Εὔξεινον πόντον, ἥπερ διήκει ἐς ὁδὸν ἡμερῶν, ὥς φασιν, εἴκοσιν.
10 ἀλλὰ καὶ τὸν ἄνεμον, ὃς ἐνθένδε πνεῖ, Ταναΐτην προσαγορεύουσιν. B 475
εἴτε δὲ τῆς Ἀρείου δόξης ἐγένοντό ποτε οἱ Γότθοι οὗτοι, ὥσπερ καὶ H 323
τὰ ἄλλα Γοτθικὰ ἔθνη, εἴτε καὶ ἄλλο τι ἀμφὶ τῇ δόξῃ αὐτοῖς ἤσκητο,
οὐκ ἔχω εἰπεῖν, ἐπεὶ οὐδὲ αὐτοὶ ἴσασιν, ἀλλ' ἀφελείᾳ τε τανῦν καὶ

2. κιμέριοι *WvV* ὀνομάζοντ^ε *W* ὀνομάζοντε *v* ὀνομάζονται *V* 3. Οὐ-τίγουροι] οὐτούργουροι *i codd. e le edd.* εἰς βορρὰν *D* 4. Ἀντῶν] *PB* ἄντων *i codd.* (*f corr. in marg.*), *H* 5. τραπεζίται *MC* τραπεζῆται *D* τετραξίται *v* τρα-πεζῖται *mf* (*corr. in marg.*), *H* 6. οἱ *Wv* 8. τῶν τὴν *D* ἀρξαμένην] *le edd.* ἀρξάμενοι *i codd.* 12. ἠσκεῖτο *MCDmf* (*corr. in marg.*), *Reg.*, *H* (*id.*) 13. ἴσασι *WvV* ἀλλ' ἀφελείᾳ] *B* ἀλλὰ φιλία *i codd.* (*L corr. in marg.*), *HP* (*id.*) « ἀλλ' « ἀφιλία *I. Sc.* » *f* (*marg.*) τε *om. D*

che mette foce in quella. Questa palude ha il suo sbocco nella riviera del Ponto Eusino. Le genti che colà abitano eran chiamate un tempo Cimmerii, oggidì chiamansi Utiguri. Più in là, a settentrione, stanno innumerevoli popolazioni di Anti. Presso al luogo poi, laddove ha principio lo sbocco della palude, abitano i Goti così detti Tetraxiti, pochi invero di numero, ma non per questo poco osservanti del rito cristiano a cui son devoti. Quei del paese chiamano Tanai anche quello sbocco che dalla palude Meotide mette nell' Eusino, che ha un' estensione, come dicono, di venti giorni di cammino; che anzi anche al vento che di là spira danno il nome di Tanaite. Se poi questi Goti mai appartenessero, come le altre genti gotiche, alla setta Ariana, oppure ad altra setta qualsivoglia, non saprei dire; dacchè neppur essi ciò sanno, ma pratticano oggidì la religione con grande

ἀπραγμοσύνῃ πολλῇ τιμῶσι τὴν δόξαν. οὗτοι ὀλίγῳ πρότερον (λέγω δὲ, ἡνίκα πρῶτόν τε καὶ εἰκοστὸν ἔτος Ἰουστινιανὸς βασιλεὺς τὴν αὐτοκράτορα εἶχεν ἀρχὴν) πρέσβεις τέτταρας ἐς Βυζάντιον ἔπεμψαν, ἐπίσκοπον σφίσι τινὰ δεόμενοι δοῦναι· ἐπεὶ ὅστις μὲν αὐτοῖς ἱερεὺς ἦν, τετελευτήκει οὐ πολλῷ πρότερον, ἔγνωσαν δὲ ὡς καὶ Ἀβασγοῖς ἱερέα 5 βασιλεὺς πέμψειε· καὶ αὐτοῖς προθυμότατα Ἰουστινιανὸς βασιλεὺς ἐπιτελῆ ποιήσας τὴν δέησιν ἀπεπέμψατο. οἱ δὲ πρέσβεις οὗτοι δέει Οὔννων τῶν Οὐτιγούρων ἐς μὲν τὸ ἐμφανὲς, αὐτηκόων πολλῶν ὄντων, V 185 ἀποστοματίζοντες ὅτου δὴ ἕνεκα ἥκοιεν, ἄλλο οὐδὲν ὅτι μὴ τὰ ἀμφὶ τῷ ἱερεῖ βασιλεῖ ἤγγειλαν, ὡς λαθραιότατά τε ξυγγενόμενοι ἅπαντα φρά- 10 ζουσιν, ὅσα ξυνοίσειν τῇ Ῥωμαίων ἀρχῇ ἔμελλε, ξυγκρουομένων ἐς ἀλλήλους ἀεὶ τῶν σφίσι προσοίκων βαρβάρων. ὅντινα δὲ τρόπον οἱ Τετραξῖται καὶ ὅθεν ἀναστάντες ἐνταῦθα ἱδρύσαντο, ἐρῶν ἔρχομαι.

2. δὴ *D* 3. αὐτοκρατορίαν εἶχε *MCD, HP* αὐτοκρατορίαν εἶχεν *mf (corr. in marg.)* ἀρχὴν *om. MCDmf, HP* τέσσαρας *D* 5. |τελευτήκει *W* 6. ἔπεμψε *MCmf (corr. in marg.), HP* ἔπεμψεν *D* προθυμώτατα *D* 6-7. *Le parole* ἐπιτελῆ – πρέσβεις *om. D* 8. Οὐτιγούρων] οὐτουγούρων *WvVf (marg.) L* οὐτουργούρων *gli altri codd. e le edd.* αὐτήκοων *Wv* αὐτηκόον *(corr.* οον *da* όων*) V* ὄντων *om. WvV* 9. ἀπὸ στομίζοντες *Wv* ἀποστομίζοντες *V* 10. ἤνεγκαν *per* ἤγγειλαν *f (marg.) L* γε *per* τε *WvV* τε *om. D* 10-11. φράζουσι *D* 11. συνοίσειν *WvVL* 12. προσήκων *WvV* 13. τραπεζίται *M* τραπεζῖται *CDmf (corr. in marg.), H* τετραξίται *WvV*

semplicità e indifferenza. Costoro, poco fa, cioè a dire nel ventesimo primo anno del regno di Giustiniano imperatore, spediron messi a Bizanzio, pregando che fosse dato loro un vescovo, dacchè quello che già avevano era morto poco prima, ed avean saputo che l' imperatore avrebbe mandato un vescovo agli Abasghi; e l' imperatore assai di buon grado esaudita la loro dimanda, li rimandò. Quei messi però, temendo gli Unni Utiguri, palesemente in presenza dei molti che li ascoltavano dichiarando la ragione della loro andata, non d' altro fecer motto all' imperatore se non del vescovo; ma abboccatisi poscia in segreto con lui, gli esposero quanta utilità verrebbe all' impero romano se si mettesse discordia fra i barbari loro vicini. In qual modo poi e di dove i Tetraxiti venissero a stabilirsi colà, passo ora a dire.

ε'. Πάλαι μὲν Οὕννων, τῶν τότε Κιμμερίων καλουμένων, πολύς τις ὅμιλος τὰ χωρία ταῦτα ἐνέμοντο, ὧν ἄρτι ἐμνήσθην, βασιλεύς τε εἷς ἅπασιν ἐφειστήκει. καί ποτέ τις αὐτῶν τὴν ἀρχὴν ἔσχεν, ᾧ δὴ παῖδες ἐγένοντο δύο, ἅτερος μὲν Οὐτιγοὺρ ὄνομα, Κουτριγοὺρ δὲ ὁ ἕτερος. 5 οἵπερ, ἐπειδὴ αὐτοῖν ὁ πατὴρ τὸν βίον ξυνεμετρήσατο, τήν τε ἀρχὴν ἄμφω ἐν σφίσιν αὐτοῖς διεδάσαντο καὶ τὴν ἐπωνυμίαν τοῖς ἀρχομένοις αὐτοῖς ἔδοσαν. οἱ μὲν γὰρ Οὐτίγουροι, οἱ δὲ Κουτρίγουροι καὶ ἐς ἐμὲ ὀνομάζονται. οὗτοι μὲν ἅπαντες τῇδε ᾤκηντο, κοινὰ μὲν τὰ ἐπιτηδεύματα ξύμπαντα ἔχοντες, οὐκ ἐπιμιγνύμενοι δὲ ἀνθρώποις, οἳ δὴ τῆς 10 τε λίμνης καὶ τῆς ἐνθένδε ἐκροῆς ἐς τὰ ἐπὶ θάτερα ἵδρυντο· ἐπεὶ οὔτε διέβαινόν ποτε τὰ ὕδατα ταῦτα οὔτε διαβατὰ εἶναι ὑπώπτευον, πρὸς τὰ εὐκολώτατα περίφοβοι ὄντες, τῷ μηδὲ ἀποπειράσασθαι αὐτῶν πώποτε, ἀλλ' ἀμελέτητοι τῆς διαβάσεως παντάπασιν εἶναι. λίμνην δὲ τὴν

P 574 B 476

1. οὔνων *W* κιμερίων *DWvV* 2. τις] *WvVL, framm. di Pitheo.* τε *gli altri codd. e le edd.* 3. ἅπασι *D* ὧν *per* ᾧ *m (corr. in marg. di m. rec.) f* 4. Οὐτιγοὺρ] *P (marg.)* οὐτουροὺρ *WvV* οὐτουγοὺρ *f (marg.) L* οὐτουργοὺρ *gli altri codd. e le edd.* Κουτριγοὺρ] *WvVL* κουτουργοὺρ *gli altri codd. e le edd.* 5. αὐτοῖς *MCDmf, P* συνεμετρήσατο *WvV* συμμετρήσατο *L* 6. ἐν *om. MDmf (agg. in marg.), H* ἐς σφίσιν *vL (corr. in marg.)* εσφίσιν *W* διεσώσαντο *MCDf (corr. in marg. di sec. m.), H* διεσώσαντο *m (corr. di sec. m.)* ἐπονυμίαν *D* ἀρχομένης *W* 7. Οὐτίγουροι] *vVf (marg.) L* οὐτίγουρι *W* οὐτούργουροι *gli altri codd. e le edd.* Κουτρίγουροι] *WvVf (marg.) L* κουτούργουροι *gli altri codd. e le edd.* 8. ᾤκηντο] *PB* ὤκηνται *i codd., H* 9. οἱ δὲ *WvV* 10. ἵδρυνται *MCDmfL* 11. ὑπόπτευον *DWvV* 12. πῶποτε *CWvmf (corr.)*

V. Già un tempo i luoghi che testè rammentai erano abitati da gran turba di Unni, chiamati allora Cimmerii, tutti retti da un solo re. Una volta vi fu un di questi re che avea due figli, uno di nome Utigur, l'altro Kutrigur, i quali, morto che fu il padre, divisero il regno fra di loro, e ciascuno i suoi sudditi denominò dal proprio nome, talchè fino ad oggi chiamansi gli uni Utiguri, gli altri Kutriguri. Costoro abitavano tutti colà con istituzioni tutte communi, senza mescolarsi colle genti che abitavano al di là della palude e del suo sbocco; poichè nè passavano essi mai quelle acque, nè pensavano che potessero passarsi, timorosi com'erano di cosa pur facilissima, perchè mai non l'aveano essi tentata, nè mai eransi curati di effettuare il passaggio. Pas-

Μαιῶτιν καὶ τὴν ἐξ αὐτῆς ἐκβολὴν ὑπερβάντι εὐθὺς μὲν ἐς αὐτήν που τὴν ταύτης ἀκτὴν οἱ Τετραξῖται καλούμενοι Γότθοι τὸ παλαιὸν ᾤκηντο, ὧν ἐπεμνήσθην ἀρτίως· πολλῷ δὲ αὐτῶν ἄποθεν Γότθοι τε καὶ Οὐισίγοτθοι καὶ Βανδίλοι καὶ τὰ ἄλλα Γοτθικὰ γένη ξύμπαντα ἵδρυντο. οἳ δὴ καὶ Σκύθαι ἐν τοῖς ἄνω χρόνοις ἐπεκαλοῦντο, ἐπεὶ πάντα τὰ 5 ἔθνη, ἅπερ τὰ ἐκείνῃ χωρία εἶχον, Σκυθικὰ μὲν ἐπὶ κοινῆς ὀνομάζεται, ἔνιοι δὲ αὐτῶν Σαυρομάται ἢ Μελάγχλαινοι, ἢ ἄλλο τι ἐπεκαλοῦντο. προϊόντος δὲ τοῦ χρόνου φασὶν, εἴπερ ὁ λόγος ὑγιής ἐστι, τῶν μὲν B 477 Κιμμερίων νεανίας τινὰς ἐν κυνηγεσίῳ διατριβὴν ἔχειν, ἔλαφον δὲ μίαν πρὸς αὐτῶν φεύγουσαν ἐς τὰ ὕδατα ἐσπηδῆσαι ταῦτα. τούς τε νεανίας, 10 εἴτε φιλοτιμίᾳ εἴτε φιλονεικίᾳ τινὶ ἐχομένους, ἢ καί τι αὐτοὺς δαιμόνιον κατηνάγκασε, τῇ ἐλάφῳ ἐπισπέσθαι ταύτῃ, μηχανῇ τε αὐτῆς μεθίεσθαι οὐδεμιᾷ, ἕως ξὺν αὐτῇ ἐς τὴν ἀντιπέρας ἀκτὴν ἵκοντο. καὶ τὸ μὲν

2. τραπεζίται *MD* τραπεζῖται *C* τραπεζῖται *mf, H* τετραξίται *WvV f (marg.)* 3. ἐπεμνήσθη *D* πολλοὶ *MCDmf, H* αὐτῶν] *WvVL; om. gli altri codd. e le edd.* 4-5. *Le parole* γένη - πάντα τὰ *om. D* 4. ᾤκηντο *per* ἵδρυντο *f (marg.), Reg.* 5. ἐπελαλοῦντο *f (corr.)* 6. σκινθικὰ *D* ἐπικοινῆς ὀνομάζεται////// *in rasura di m. rec. W* ὠνομάζεται *D* 7. σαβρομάται ἢ μελάχλαινοι *Wv.V* 8. φασὶ *D* 9. κιμερίων *D* κινηγεσίω *D* μιᾶν *D* 10. αὐτὸν *D* 11. φιλονικεία *D* φιλονικία *Wv* καίτοι *V (corr.)* δαιμόνιον αὐτοὺς *WvVf (marg.) L* 12. ἐπεισπέσθαι *WvV* μεθίεσθαι αὐτῆς *W v Vf (marg.) L* 13. αὐτῆς *W* αὐτοῖς *L*

sata la palude Meotide ed il suo sbocco, lì appunto su quello stesso lido abitavano un tempo i Goti detti Tetraxiti che io testè rammentai. Molto più in là di questi stavano i Goti, i Visigoti, i Vandali e tutte le altre popolazioni gotiche, le quali nei tempi passati si eran chiamate Sciti, poichè tutte le popolazioni che abitavano quei paesi portano l'appellazione comune di scitiche. Alcune di esse però eran chiamate Sauromati o Melanchleni o altrimenti. Coll'andar del tempo, dicono, seppur la cosa è vera, che alcuni giovanetti cimmerii, mentre attendevano alla caccia, una cerva fuggendo da loro saltasse in quelle acque, e che quei giovanetti, sia per ambizione od emulazione, sia per un qualche divino impulso, si dessero a seguir quella cerva, nè mai smettessero di ciò fare finchè giunsero con essa al lido opposto,

διωκόμενον ὅ τι ποτ' ἦν εὐθὺς ἀφανισθῆναι· δοκεῖ γάρ μοι ὡς οὐδὲ ἄλλου του ἕνεκα ἐνταῦθα ἐφάνη, ὅτι μὴ τοῦ γενέσθαι κακῶς τοῖς τῇδε ᾠκημένοις βαρβάροις. τοὺς δὲ νεανίας τοῦ μὲν κυνηγεσίου ἀποτυχεῖν, μάχης δὲ ἀφορμὴν καὶ λείας εὑρέσθαι. ἐς ἤθη γὰρ τὰ πάτρια ὅτι
5 τάχιστα ἐπανήκοντες ἔνδηλα πᾶσι Κιμμερίοις πεποίηνται ὅτι δὴ ταύτῃ P 575 βατὰ σφίσι τὰ ὕδατα εἴη. ἀνελόμενοι οὖν αὐτίκα τὰ ὅπλα πανδημεί τε διαβάντες ἐγένοντο μελλήσει οὐδεμιᾷ ἐν τῇ ἀντιπέρας ἠπείρῳ, Βανδίλων μὲν ἤδη ἐνθένδε ἀναστάντων ἐπί τε Λιβύης ἱδρυσαμένων, ἐν Ἱσπανίᾳ δὲ Οὐισιγότθων οἰκησαμένων. Γότθοις οὖν τοῖς ἐς τὰ τῇδε
10 ᾠκημένοις πεδία ἐξαπιναίως ἐπιπεσόντες πολλοὺς μὲν ἔκτειναν, τοὺς δὲ λοιποὺς ἐτρέψαντο ἅπαντας. ὅσοι τε αὐτῶν διαφυγεῖν ἴσχυσαν, ξὺν παισί τε καὶ γυναιξὶν ἐνθένδε ἀναστάντες ἀπέλιπον μὲν τὰ πάτρια ἤθη, διαπορθμευσάμενοι δὲ ποταμὸν Ἴστρον ἐν γῇ τῇ Ῥωμαίων ἐγένοντο.

1. διοκώμενον *D* ποτὲ ἦν *D* ὡς *om. DWvVL* οὐδὲν *D* 2. τοῦ] *Pith., Maltr., PB; om. i codd., H* τοῖσδε *per* τοῖς τῇδε *W* 3. βαρβαρβάροις *(sic) M* 5. ἔνδηλα] *MCDWvVmf, HP* ἔκδηλα *Reg., B* κιμερίοις *WvV* ταῦτα *MCDmf* 6. κατὰ *per* βατὰ *m (corr. in marg.)* 7. μελήσει *MCDWvVmf (corr. in marg.)* 7-8. βανδήλων *DW* 9. οὐσιγότθων *WvV* 9-10. γότθων οὖν τῶν ἐς τὰ τῇδε ᾠκημένων *f (marg.), Reg.* 9. ἐν *per* ἐς *D* 11. αὐτοὺς *WvVL, Pith.* 12. γυναιξί *D*

e l'essere da essi inseguito, qual che si fosse, subitamente sparisse, essendo quello a mio credere non per altro ad essi colà apparso se non perchè male ne avvenisse ai barbari che ivi dimoravano; ed i giovanetti, non riusciti nella caccia, pur trovarono occasione a combattere ed a far preda; poichè tornati prestamente in patria rivelarono a tutti i Cimmerii che quelle acque potevano da loro esser passate. Prese quindi tosto le armi e passati in massa senza indugio, pervennero al continente opposto, quando già i Vandali partitisi di là eransi stabiliti in Africa e i Visigoti in Spagna. Fattisi adunque improvvisamente sopra ai Goti che abitavano quelle terre, molti ne uccisero e tutti gli altri volsero in fuga. Quanti di costoro riuscirono a scampare partitisi di là coi figli e le mogli abbandonaron le patrie sedi e passato il Danubio recaronsi sul suolo romano. E molto

καὶ πολλὰ μὲν τοὺς ταύτῃ ᾠκημένους δεινὰ ἔδρασαν, μετὰ δὲ δόντος
βασιλέως ᾠκήσαντο ἐς τὰ ἐπὶ Θρᾴκης χωρία, καὶ τὰ μὲν ξυνεμάχουν
H 324 B 478 Ῥωμαίοις, τάς τε ξυντάξεις ὥσπερ οἱ ἄλλοι στρατιῶται πρὸς βασιλέως
κομιζόμενοι ἀνὰ πᾶν ἔτος καὶ φοιδερᾶτοι ἐπικληθέντες (οὕτω γὰρ αὐτοὺς
V 186 τῇ Λατίνων φωνῇ ἐκάλεσαν Ῥωμαῖοι, ἐκεῖνο, οἶμαι, παραδηλοῦντες, ὅτι 5
δὴ οὐχ ἡσσημένοι αὐτῶν τῷ πολέμῳ Γότθοι, ἀλλ' ἐπὶ ξυνθήκαις τισὶν
ἔνσπονδοι ἐγένοντο σφίσι. φοίδερα γὰρ Λατῖνοι τὰς ἐν πολέμῳ καλοῦσι
ξυνθήκας, ἧπέρ μοι ἐν τοῖς ἔμπροσθεν δεδήλωται λόγοις) τὰ δὲ καὶ πό-
λεμον πρὸς αὐτοὺς διέφερον οὐδενὶ λόγῳ, ἕως ᾤχοντο ἀπιόντες ἐς Ἰταλίαν,
Θευδερίχου ἡγουμένου σφίσι. τὰ μὲν οὖν τῶν Γότθων τῇδε κεχώρηκεν. 10

Οὖννοι δὲ αὐτῶν τοὺς μὲν κτείναντες, τοὺς δέ, ὥσπερ ἐρρήθη,
ἐξαναστήσαντες τὴν χώραν ἔσχον. καὶ αὐτῶν Κουτρίγουροι μὲν παῖ-
δάς τε καὶ γυναῖκας μεταπεμψάμενοι ἐνταῦθα ἱδρύσαντο, οὗ δὴ καὶ
ἐς ἐμὲ ᾤκηνται. καὶ δῶρα μὲν πολλὰ πρὸς βασιλέως ἀνὰ πᾶν ἔτος

1. τοῖς - ᾠκημένοις *H* 2. ᾤκησαν *MCDmf (corr. in marg.), HP* τραπέζης *per* Θρᾴκης *MCDmf (corr. in marg.), H* 3. συντάξεις *WvVL* 4. ἀν|ἀπᾶν *W* φοιδεράτοι *D* φιδεράτοι *WvV* οὕτως *W* 5. τότε *per* τῇ *WvVf (marg.) L* 7. φίδερα *WvV* λατεῖνοι *W* λατῖνοι (ῖ *corr. da* ει) *v* 8-9. πολέμῳ^οι^ον *D* 10. κεχώρηκε *WvV* 11. ὅπερ *WvVf (marg.), Reg.* ἐρρέθη *MCDmf (corr. in marg.), P* 12. Κουτρίγουροι] *MCDmfL, H* κουτριγοῦροι *WvV* Κουτούργουροι *PB* 14. πολλὰ *om. Dmf (agg. in marg.)*

travagliarono essi gli abitanti di quella regione, finchè poscia per concessione dell' imperatore stabilironsi in Tracia. E mentre da un lato combatteano insieme coi Romani ricevendo annuo stipendio dall' imperatore come gli altri soldati e la denominazione di federati (poichè così con voce latina chiamaronli i Romani, volendo significare, a mio credere, che i Goti, non già perchè vinti in guerra, ma dietro certe convenzioni eransi con essi associati, dacchè « foedera » chiamano i Latini i trattati che si fanno in guerra, come già io dissi nei libri antecedenti), dall'altro invece muovevan loro guerra, senza alcun motivo, finchè emigrarono in Italia, ivi condotti da Teoderico. E tanto avvenne dei Goti.

Gli Unni, uccisi o, come dicemmo, espulsi coloro, occuparono il paese, e fra di essi i Kutriguri, fatti venire i figli e le mogli, stabilironsi colà ove tuttavia oggidì dimorano. Assai do-

κομίζονται, καὶ ὡς δὴ διαβαίνοντες ποταμὸν Ἴστρον καταθέουσιν ἐς
ἀεὶ τὴν βασιλέως χώραν, ἔνσπονδοί τε καὶ πολέμιοι Ῥωμαίοις ὄντες.
Οὐτίγουροι δὲ ξὺν τῷ ἡγουμένῳ ἐπ' οἴκου ἀπεκομίζοντο, μόνοι τὸ
λοιπὸν ἐνταῦθα καθιζησόμενοι. οἵπερ ἐπειδὴ λίμνης τῆς Μαιώτιδος
5 ἀγχοῦ ἐγένοντο, Γότθοις ἐνταῦθα τοῖς Τετραξίταις καλουμένοις ἐνέτυχον.
καὶ τὰ μὲν πρῶτα φραξάμενοι ταῖς ἀσπίσιν οἱ Γότθοι ἀντικρὺ τοῖς
ἐπιοῦσιν ὡς ἀμυνόμενοι ἔστησαν, σθένει τε τῷ σφετέρῳ καὶ χωρίου
ἰσχύϊ θαρσοῦντες· αὐτοὶ γὰρ ἀλκιμώτατοι ἁπάντων εἰσὶ τῶν τῇδε βαρ- B 479
βάρων. καὶ ἡ πρώτη τῆς Μαιώτιδος ἐκροή, οὗ δὴ τότε οἱ Τετραξῖται
10 Γότθοι ἵδρυντο, ἐν κόλπῳ ξυνιοῦσα μηνοειδεῖ, περιβαλοῦσά τε αὐτοὺς
ἐκ τοῦ ἐπὶ πλεῖστον, μίαν ἐπ' αὐτοὺς εἴσοδον οὐ λίαν εὐρεῖαν τοῖς
ἐπιοῦσι παρείχετο. ὕστερον δὲ, οὔτε γὰρ Οὖννοι χρόνον τινὰ τρίβεσθαι
σφίσιν ἐνταῦθα ἤθελον, οἵ τε Γότθοι τῷ τῶν πολεμίων ὁμίλῳ ἐπὶ πολὺ P 576

1. κομίζουσι *WvVf(marg.), Reg.* ὡς δὲ *MCm(corr.); om. WvVL; in parent. f* καταθέουσιν (τα *sopra*) *W* 3. Οὐτίγουροι] *WvVL, Pith.* οὐτίγεροι *(sic) f(marg.)* οὐτούργουροι *gli altri codd. e le edd.* ἀπεμίζοντο *D* 3-4. τολοιπὸν *MCDWvmf(corr.)* 5. τραπεζίταις *MCDmf(corr.)* 6. μὲν] *i codd.; om. le edd.* 7. ἀμυνούμενοι *v. Herwerden* χωρίους *W* 8. ἁπάντων] *WvVf(marg.), Reg.; om. gli altri codd. e le edd.* τῇδε *om. Reg.* 9. ἡ *per* οἱ *WvV* τραπεζίται *MCDmf* τετραξίται *WvVf(marg.)* Τραπεζῖται *H* 10. ἵδρυνται *f(marg.), Reg.* μηνοειδῆ *MCDmf(corr. in marg.)* μηνοειδὴ *W* 11. εὑρεῖν ἂν *WV* ἑυρεῖ αν *v* 13. τῷ *om. L; in parent. f*

nativi invero ricevevano essi ogni anno dall' imperatore, ma pur nondimeno passando il Danubio infestavano costantemente il territorio imperiale, socii ad un tempo e nemici dei Romani. Gli Utiguri, col loro duce, tornaronsene in patria per abitarla d' allora in poi da soli. Giunti però in prossimità della palude Meotide, si avvenner colà nei Goti Tetraxiti. Dapprima i Goti coprendosi cogli scudi di piè fermo fecer fronte agli assalitori, fidando nelle proprie forze e nella forte posizione; poichè sono essi i più robusti fra tutti quei barbari, e lo sbocco della palude Meotide al suo principio, laddove allora stavansi i Goti Tetraxiti, formando un seno lunato e circondandoli quasi d' ogni dove, non offriva agli assalitori che un sol valico ed anche questo non molto largo. Ma, poichè gli Unni non volevano spender molto tempo colà ed i Goti non aveano speranza di lungamente resistere alla turba

ἀνθέξειν οὐδαμῇ ἤλπιζον, ἐς λόγους ἀλλήλοις ξυνίασιν, ἐφ' ᾧ ἀναμιχθέντες κοινῇ ποιήσονται τὴν διάβασιν, καὶ οἱ Γότθοι ἱδρύσονται μὲν ἐν τῇ ἀντιπέρας ἠπείρῳ παρ' αὐτὴν τῆς ἐκβολῆς μάλιστα τὴν ἀκτὴν, ἵνα δὴ καὶ τανῦν ἵδρυνται, φίλοι δὲ καὶ ξύμμαχοι τὸ λοιπὸν Οὐτιγούροις ὄντες ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ σφίσιν ἐνταῦθα βιώσονται 5 τὸν πάντα αἰῶνα. οὕτω μὲν οὖν οἵδε οἱ Γότθοι τῇδε ἱδρύσαντο καὶ τῶν Κουτριγούρων, ὥσπερ μοι εἴρηται, ἀπολελειμμένων ἐν τῇ γῇ ἐπὶ θάτερα τῆς λίμνης οὔσῃ μόνοι Οὐτίγουροι τὴν χώραν ἔσχον, πράγματα Ῥωμαίοις ὡς ἥκιστα παρεχόμενοι, ἐπεὶ οὐδὲ αὐτῶν ἄγχιστα ᾤκηνται, ἀλλ' ἔθνεσι πολλοῖς διειργόμενοι μεταξὺ οὖσιν ἀκουσίῳ 10 ἀπραγμοσύνῃ ἐς αὐτοὺς ἔχονται.

Ὑπερβάντι δὲ λίμνην τε τὴν Μαιώτιδα καὶ ποταμὸν Τάναϊν ἐπὶ πλεῖστον μὲν τῶν τῇδε πεδίων Κουτρίγουροι Οὖννοι, ἧπέρ μοι ἐρρήθη, B 480 ᾠκήσαντο· μετὰ δὲ αὐτοὺς Σκύθαι τε καὶ Ταῦροι ξύμπασαν ἔχουσι

1. ἐφ' ὧν *WvV* 2. οἱ *om. Dmf (agg. in marg.)* ἱδρύσαντο *MCDmf* 3. πέρας *W* 5. Οὐτιγούροις] *vVf (marg.), Reg.* οὐτιγούρις *(corr.* -ροις *di m. rec.) W* οὐτουργούροις *gli altri codd. e le edd.* βιάσονται *(sic) MCDmf (corr.)* 6. *Dopo* ἱδρύσαντο *D ripete le parole* μὲν ἐν – τῇδε *(rr. 3-6) solo omettendo* βιώσονται *(r. 5).* 7. Κουτριγούρων] *MCWvVmfL, H* κουτουργούρων *gli altri codd., PB* 7-8. ἐν γῆ τῆ αποθατέρα *WvV* 8. Οὐτίγουροι] *WvVf (marg.) L, H* οὐτούργουροι *gli altri codd., PB* 9. ῥωμαίως *MC* ῥωμαῖοι *mf* 10. διηγόμενοι *D* οὖσι *D* 12. μαιώτιδαν *D* ταίναν *W* 13. Κουτρίγουροι] *WvVf (marg.), Reg.* κουτούργουροι *gli altri codd. e le edd.* 14. σκῆσθαι *W* σκῦθαι *V* τε *om. MCDmf (agg. di sec. m.)*

dei nemici, venner poscia a trattative pattuendo che unitisi insieme effettuerebbero il passaggio, ed i Goti si stabilirebbero sul continente opposto presso al lido lungo lo sbocco, ed in amicizia ed alleanza cogli Utiguri ivi in seguito vivrebbero per sempre con eguali diritti com' essi. E così questi Goti colà si stabilirono e lasciati, come io già dissi, i Kutriguri al di là della palude, gli Utiguri soli tennero il paese senza dare alcuna molestia ai Romani; poichè ad essi non si trovan punto prossimi, ma essendo interposte molte popolazioni, anche non volendo li lasciano in pace.

Al di là adunque della palude Meotide e del fiume Tanai, gran tratto di quelle terre fu preso ad abitare, come già dissi, dagli Unni Kutriguri. Più in là tutta quella regione è abitata

τὴν ταύτῃ χώραν, ἥσπερ μοῖρά τις Ταυρικὴ καὶ νῦν ἐπικαλεῖται, ἵνα δὴ καὶ τῆς Ἀρτέμιδος τὸν νεὼν γεγονέναι φασίν, οὗπέρ ποτε ἡ τοῦ Ἀγαμέμνονος Ἰφιγένεια προὔστη. καίτοι Ἀρμένιοι ἐν τῇ παρ' αὐτοῖς Ἀκιλισηνῇ καλουμένῃ χώρᾳ τὸν νεὼν τοῦτον γεγονέναι φασὶ καὶ Σκύθας 5 τηνικάδε ξύμπαντας καλεῖσθαι τοὺς ἐνταῦθα ἀνθρώπους, τεκμηριούμενοι τοῖς ἀμφί τε Ὀρέστῃ καὶ πόλει Κομάνῃ δεδιηγημένοις μοι ἐς ἐκεῖνο τοῦ λόγου. ἀλλὰ περὶ μὲν τούτων λεγέτω ἕκαστος ὥς πῃ αὐτῷ βουλομένῳ ἐστί· πολλὰ γὰρ τῶν ἑτέρωθι γεγενημένων, ἴσως δὲ καὶ οὐδαμῆ ξυμπεπτωκότων, ἄνθρωποι προσποιεῖσθαι φιλοῦσιν ὡς πάτρια ἤθη, 10 ἀγανακτοῦντες, ἢν μὴ τῇ δοκήσει τῇ αὐτῶν ἅπαντες ἕπωνται. μετὰ δὲ τὰ ἔθνη ταῦτα πόλις θαλασσία οἰκεῖται, Βόσπορος ὄνομα, Ῥωμαίων κατήκοος γενομένη οὐ πολλῷ πρότερον. ἐκ δὲ Βοσπόρου πόλεως ἐς πόλιν Χερσῶνα ἰόντι, ἣ κεῖται μὲν ἐν τῇ παραλίᾳ, Ῥωμαίων δὲ καὶ

1. ἥσπερ μοῖρά τις] *WvV, B* ἧπερ μοῖρά τις *M, HP* ἧπερ μοῖρα τίς *Cmf* ἧπερ μοῖρα τῇ *D* ἥσπερ σπειρά τις *L (in marg.* σειρά*), Pith.* ταυρικῇ *D* ταυρικῆ *W* *Dopo* καὶ νῦν *in D son ripetute le parole* ἐπιπλεῖστον *(p. 30, rr. 12-13)* – Ταυρικὴ *colle varianti* παιδίων; σκύνθαι; ἧπερ μοῖρα τίς 2. φασὶ *D* φησὶν ἧπέρ *WvVL* 2-4. *Le parole* οὗπέρ – γεγονέναι φασὶ *om. D* 3-4. καὶ τοις κύθαστὲ ῆτ χώρα *W* καί τοι σκύθας τὲ τῆ χώρᾳ *vV* *Le parole* Ἀρμένιοι – καλουμένῃ *om. WvVL* 4. κελεσηνῇ *MCDmf, H* καὶ *om. WvVf (in parent.) L* σκύθας τε *MCWvVmfL* σκύνθας τε *D* 6. ὀρέστην *D* 7. πῆ *D* 9. ξυμπεπτοκότων *W* ὡς] *i codd.* ἐς *le edd.* 10. ἔπονται *(sic) W* ἕπονται *vVL* 11. Ῥωμαίων] *WvVL* καὶ ῥ. *gli altri codd. e le edd.* 12. γενόμενοι *W*

dagli Sciti e dai Tauri; della quale una parte chiamasi tuttora Taurica, ove dicono si trovasse il tempio di Artemide a cui presiedeva un tempo Ifigenia figlia di Agamennone; benchè gli Armeni dicano che quel tempio si trovasse nel loro paese chiamato Acilisene e che allora fosser chiamate Sciti tutte le genti di colà, fondandosi sui fatti da me a suo luogo narrati circa Oreste e la città di Comana. Ma intorno a tali cose pensi ciascuno come a lui piace; poichè molti fatti avvenuti altrove, e forse neppur mai avvenuti, gli uomini amano appropriarsi attribuendoli alla loro patria, ed avendosi a male se tutti non seguano la loro opinione. Dopo queste popolazioni trovasi una città marittima chiamata Bosporo, da non molto assoggettata ai Romani. Dalla città di Bosporo a quella di Chersone, la quale è situata sul lido ed è da

αὐτῇ κατήκοος ἐκ παλαιοῦ ἐστι, βάρβαροι, Οὐννικὰ ἔθνη, τὰ μεταξὺ ἅπαντα ἔχουσι. καὶ ἄλλα δὲ πολίσματα δύο ἀγχοῦ Χερσῶνος, Κῆποί τε καὶ Φανάγουρις καλούμενα, Ῥωμαίων κατήκοα ἐκ παλαιοῦ τε καὶ ἐς ἐμὲ ἦν. ἅπερ οὐ πολλῷ ἔμπροσθεν βαρβάρων τῶν πλησιοχώρων
V 187 ἑλόντες τινὲς ἐς ἔδαφος καθεῖλον. ἐκ δὲ Χερσῶνος πόλεως ἐς τὰς 5
B 481
H 325 ἐκβολὰς ποταμοῦ Ἴστρου, ὃν καὶ Δανούβιον καλοῦσιν, ὁδὸς μέν ἐστιν ἡμερῶν δέκα, βάρβαροι δὲ τὰ ἐκείνῃ ξύμπαντα ἔχουσιν. Ἴστρος δὲ ποταμὸς ἐξ ὀρέων μὲν τῶν Κελτικῶν ῥεῖ, περιιὼν δὲ τὰς τῆς Ἰταλίας ἐσχατιάς, φερόμενός τε ἐπὶ τὰ Δακῶν καὶ Ἰλλυριῶν καὶ τὰ ἐπὶ Θρᾴκης
P 577 χωρία, ἐκβάλλει ἐς τὸν Εὔξεινον Πόντον. τὰ δὲ ἐνθένδε ἅπαντα μέχρι 10 ἐς Βυζάντιον τοῦ Ῥωμαίων βασιλέως τυγχάνει ὄντα. ἡ μὲν οὖν τοῦ Εὐξείνου Πόντου περίοδος ἐκ Καλχηδόνος μέχρι ἐς Βυζάντιον ταύτῃ πη ἔχει. ἐς ὅσον δὲ ἡ περίοδος ἥδε διήκει, ἅπαν μὲν ἐς τὸ ἀκριβὲς οὐκ ἔχω εἰπεῖν, βαρβάρων, ὥσπερ μοι ἐρρήθη, ᾠκημένων ἐνταῦθα τοσούτων

1. αὐτῇ *W* βάρβαραι *v* οὐνικὰ *W* 2. δὲ *om. MCDmf (agg. di sec. m.)* 3. φανούγουρις *MCmf (corr. in marg.), H* φανούργουρις *D* 5. ἑλόντες] *MCD WvVmf, P* ἐλθόντες *f (marg.) L, HB Il secondo* ἐς *om. D* 6. δάνουβιν *M CDmf (corr. in marg.), P* 8. ὀρίων *WvVf (marg.), Reg.* ἐλτικῶν *W* τῆς *om. WvVL; in parent. f* 9. ἐσχατιᾶς *D* ἐπί τε *per* ἐπὶ τὰ *WvV* 9-10. τῶν δακῶν - χωρίων *WvVLf (marg.)* 13. ἅπαντα *WvVf (marg.), H (id.)* 14. ἔχων *WvV* εἰπῆν *W* μοι *om. L* ἐρήθη *D* τοσοῦτον *D, P*

assai tempo pur essa soggetta ai Romani, tutto il paese intermedio è abitato da barbare popolazioni unne; due altre piccole città presso Chersone, Cepi e Fanaguris, appartennero da tempo antico fino ad oggi ai Romani, e non è molto furon prese e rase al suolo dai barbari vicini. Dalla città di Chersone alla foce dell' Istro, che chiamasi anche Danubio, v' hanno dieci giorni di cammino, e tutta quella regione è abitata da barbari. Il fiume Danubio scende dai monti Celtici, scorre lungo gli estremi lembi dell' Italia ed avanzandosi nei paesi della Dacia, dell' Illirico e della Tracia sbocca nel Ponto Eusino. Tutti i paesi di là in poi fino a Bizanzio appartengono all' imperatore romano. Tale è l' ámbito del Ponto Eusino da Chalcedone fino a Bizanzio. Quanto però misuri questo ámbito non sono in grado di dirlo del tutto esattamente, dacchè, come dissi, vi abita una tal moltitudine di bar-

τὸ πλῆθος, ἐπιμιξίας τε Ῥωμαίοις παρ' αὐτῶν τινος, ὅτι μὴ ὅσα κατὰ πρεσβείαν, ἴσως οὐδεμιᾶς οὔσης· ἐπεὶ οὐδὲ τοῖς πρότερον ταῦτα ἐγκεχειρηκόσι διαμετρήσασθαι ἐς τὸ ἀκριβές τι ξυμβαίνει εἰρῆσθαι. ἐκεῖνο μέντοι διαφανές ἐστιν, ὡς Πόντου τοῦ Εὐξείνου τὰ ἐν δεξιᾷ εἴη ἂν ἐκ
5 Καλχηδόνος ἐς ποταμὸν Φᾶσιν δυοῖν καὶ πεντήκοντα ὁδὸς ἡμερῶν εὐζώνῳ ἀνδρί· ᾧ δὴ οὐκ ἄπο τρόπου τεκμηριούμενος φαίη ἄν τις καὶ τὴν ἑτέραν τοῦ Πόντου μοῖραν μέτρου τοῦδε εἶναι οὐ πολλῷ ἄποθεν.

ς'. Ἐπειδὴ δὲ ἀφικόμεθα ἐνταῦθα τοῦ λόγου, ἀναγράψασθαι οὔ μοι ἀπὸ καιροῦ ἔδοξεν εἶναι ὅσα δὴ ἀμφὶ τοῖς ὁρίοις τῆς τε Ἀσίας καὶ
10 τῆς Εὐρώπης διαμάχονται πρὸς ἀλλήλους οἱ περὶ ταῦτα δεινοί. λέγουσι μὲν γάρ τινες αὐτῶν τὰ ἠπείρω ταύτα διορίζειν ποταμὸν Τάναϊν, ἀπισχυ- B 482 ριζόμενοι μὲν χρῆναι τὰς τομὰς φυσικὰς εἶναι, τεκμηριούμενοι δὲ ὡς ἡ μὲν θάλασσα προϊοῦσα ἐκ τῶν ἑσπερίων ἐπὶ τὴν ἑῴαν φέρεται μοῖραν,

1. τινὰς *MCDmf (in marg.* τινός*) L* τινας *WvV* 2. ἴσσως *W* ἐπεὶ *om. MCDmf (agg. in marg.), Reg., P* 4. εἴ *per* εἴη *mf (corr.)* δ' ἂν *MCD mf (corr.)* 5. φάσιν *MCDWvVmf* δυεῖν *WvVL* ἡμερῶν ἔστιν *MCvmf* ἡμερῶν ἐστὶν *WVf (di sec. m.)* 6. ὃ *WvVf (marg.), Reg.* 8. ἐπεὶ δὲ *DWvV* 9. ἄπο *B* Ἀσίας] *eWvVL* ἀσίης *gli altri codd. e le edd.* 10. περὶ *om. eWv VL* 11. τὰ ἐν ἠπ. *f (marg.)* ἀποσχυρ. *D* ἀπεσχυρ. *W* 12. μὲν ὡς χ. *e* 13. στέλλεσθαι *per* φέρεται *MCDmf (corr. in marg.), H* στέλεσθαι *e*

bari, i quali non hanno quasi alcun rapporto coi Romani se non forse per mezzo di legati; nè alcunchè di esatto ne dissero coloro che nel passato ne intrapresero la commisurazione. Questo però è certo che sulla riva destra del Ponto Eusino da Chalcedone al fiume Fasi v' ha cinquantadue giorni di cammino d' uomo aitante. Dal che si può indurre non inverosimilmente che anche l' altra parte del Ponto non si discosti molto da questa misura.

VI. Dacchè siamo arrivati a questo punto col nostro dire, mi pare non inopportuno riferire quanto gl' intelligenti di tali cose fra loro discutono circa i confini fra l'Asia e l' Europa. Taluni dicono che questi due continenti vengon separati dal fiume Tanai, sostenendo che le divisioni debbano essere quali le fa la natura, ed appoggiandosi sul fatto che il mare procede da occidente ad

ποταμὸς δὲ Τάναϊς ἐκ τῶν ἀρκτῴων φερόμενος ἐς ἄνεμον νότον μεταξὺ ταῖν ἠπείροιν χωρεῖ· ἔμπαλιν δὲ τὸν Αἰγύπτιον Νεῖλον ἐκ μεσημβρίας ἰόντα πρὸς βορρᾶν ἄνεμον Ἀσίας τε καὶ Λιβύης μεταξὺ φέρεσθαι. ἄλλοι δὲ ἀπ' ἐναντίας αὐτοῖς ἰόντες οὐχ ὑγιᾶ τὸν λόγον ἰσχυρίζονται εἶναι. λέγουσι γὰρ ὡς τὰ μὲν ἠπείρω ταύτα τὸ ἐξ ἀρχῆς ὅ τε ἐν 5 Γαδείροις διορίζει πορθμὸς ἀπ' ὠκεανοῦ ἐξιὼν καὶ ἡ προϊοῦσα ἐνθένδε θάλασσα, καὶ τὰ μὲν τοῦ πορθμοῦ καὶ τῆς θαλάσσης ἐν δεξιᾷ Λιβύη τε καὶ Ἀσία ὠνόμασται, τὰ δὲ ἐν ἀριστερᾷ πάντα Εὐρώπη ἐκλήθη μέχρι που ἐς λήγοντα τὸν Εὔξεινον καλούμενον Πόντον. τούτων δὲ δὴ τοιούτων ὄντων ὁ μὲν Τάναϊς ποταμὸς ἐν γῇ τῆς Εὐρώπης τικτό- 10 μενος ἐκβάλλει ἐς λίμνην τὴν Μαιώτιδα, ἡ δὲ λίμνη ἐς τὸν Εὔξεινον Πόντον τὰς ἐκβολὰς ποιεῖται οὔτε λήγοντα οὔτε μὴν κατὰ μέσον, ἀλλ' ἔτι πρόσω. τὰ δὲ εὐώνυμα τούτου δὴ τοῦ Πόντου τῇ τῆς Ἀσίας λογίζεται μοίρᾳ, χωρὶς δὲ τούτων ποταμὸς Τάναϊς ἐξ ὀρέων τῶν Ῥιπαίων

1. νῶτον *C* 2. ταῖς *D* χωρεῖν *MeCDmf (corr. in marg.), H* 3. βοράν *D* 4. « γρ. οὐχ ὑγιῆν λεκτέων οἶμαι » *in marg. D* 5. τὸ *om. MeCD mf (agg. in marg.)* οὔτε *per* ὅ τε *D* 6. διορίζοι *D* ἀξιὼν *D* 7. ἐν *om. D* 9. ἐλήγοντα *D* τὸν καλούμενον εὔξ. *e* καλούμενον *ripete D* 10. τῇ *per* τῆς *vorrebbe Dind.* 11. ἐκβάλει *D* 13. πρόσω. εἶναι δὲ τὰ εὐμήχανα τὰ εὐώνυμα τούτου δὲ τοῦ πόντου· τῆ τῆς ἀσίας *WvV* 14. μοῖρα *D* ὀρῶν *MeCDf (corr. in marg.), P* ὀρὼν *m*

oriente ed il fiume Tanai movendo dal settentrione verso il mezzodì interseca i due continenti, e così pure il Nilo d'Egitto andando in senso opposto da mezzodì a settentrione interseca l'Asia e l'Africa. Altri invece, opponendosi a questi, sostengono tale idea esser falsa, poichè dicono che questi continenti risultano anzitutto separati fra loro dallo stretto di Cadice, formato dall'oceano, e dal mare che da quello procede; e tutta la parte a destra dello stretto e del mare chiamasi Africa ed Asia, tutta la parte a sinistra fino al termine del Ponto Eusino si chiama Europa. Così dunque stando la cosa, il fiume Tanai nascendo in Europa sbocca nella palude Meotide e questa nel Ponto Eusino, non alla sua estremità, e neppur nel mezzo, ma più oltre. Eppure le parti a sinistra di questo Ponto sono considerate come appartenenti all'Asia. Inoltre, poichè il fiume Tanai esce dai monti Ripei, che trovansi in Europa, come

καλουμένων ἔξεισιν, ἅπερ ἐν γῇ τῇ Εὐρώπῃ ἐστὶν, ὥσπερ καὶ αὐτοὶ P 578
οἱ ταῦτα ἐκ παλαιοῦ ἀναγραψάμενοι ὁμολογοῦσι. τούτων δὲ τῶν Ῥι-
παίων ὀρῶν τὸν ὠκεανὸν ὡς ἀπωτάτω ξυμβαίνει εἶναι. τὰ τοίνυν αὐτῶν
τε καὶ Τανάϊδος ποταμοῦ ὄπισθεν ξύμπαντα Εὐρώπην ἐφ' ἑκάτερα
5 ἐπάναγκες εἶναι. πόθεν οὖν ἄρα ποτὲ ἄρχεται ἤπειρον ἑκατέραν διο- B 483
ρίζειν ὁ Τάναϊς οὐ ῥᾴδιον εἶναι εἰπεῖν. ἢν δέ τινα ποταμὸν διορίζειν
ἄμφω τὰ ἠπείρω λεκτέον, οὗτος δὴ ἐκεῖνος ὁ Φᾶσις ἂν εἴη. καταν-
τικρὺ γὰρ πορθμοῦ τοῦ ἐν Γαδείροις φερόμενος ταῖν ἠπείροιν κατὰ
μέσον χωρεῖ, ἐπεὶ ὁ μὲν πορθμὸς ἐξ ὠκεανοῦ ἐξιὼν θάλασσαν τήνδε
10 ἀπεργαζόμενος τὰ ἠπείρω ταύτα ἐφ' ἑκάτερα ἔχει, ὁ δὲ Φᾶσις κατ' αὐτόν
που λήγοντα μάλιστα ἰὼν τὸν Εὔξεινον Πόντον ἐς τοῦ μηνοειδοῦς τὰ V 188
μέσα ἐκβάλλει, τὴν τῆς γῆς ἐκτομὴν ἀπὸ τῆς θαλάσσης διαφανῶς
ἐκδεχόμενος. ταῦτα μὲν οὖν ἑκάτεροι προτεινόμενοι διαμάχονται. ὡς
δὲ οὐ μόνος ὁ πρότερος λόγος, ἀλλὰ καὶ οὗτος, ὅνπερ ἀρτίως ἐλέγομεν,

1. ἔξεισι *D* εὐρήτη *D* Εὐρώπης *vorrebbe Dind.* 2. καὶ οἱ *MeCD mf (in parent.)* 3. τῶν *f* (τὸν *in marg.)* ἀποτάτω *D* 4. εὐρώπη *MeCDmf* εὐρωπαί (α *sopra*) *WvV* εὐρωπαῖα *f (marg.), Reg.* 5-6. διορίζει *D* 6. «ἴσ. οἶμαι» *f (marg.), H (id.)* ὂν *per* ἢν *WvV* διορίζει *D* 7. οὖτως *(sic) W* οὕτως *vV* δὲ *MCDmf (corr.)* φάσις *MCDWvVmf* 8. φαινόμενος *MeCDmf (corr. in marg.), H* 9. χωρεῖν *D* ἐχώρει *L* ἀξιὼν *D* δὲ τήνδε *MCDmf, P* 10. φάσις *MCDWvVmf* 12. ἐκβάλει *DWvV* ἐντομὴν *MeCmf (corr. in marg.), P* ἐντομῇ *D*

convengono gli antichi che scrissero di queste cose, e l'oceano da questi monti Ripei è lontanissimo, ne consegue che tutto quanto trovasi dopo questi monti ed il Tanai appartenga da ambo le parti all'Europa. Da dove quindi il Tanai incominci a dividere i due continenti, dicono non esser facile designare; e se mai si debba dire che un fiume li divide, questo dover essere il Fasi. Infatti, esso scorre nel mezzo fra i due continenti, dirimpetto allo stretto di Cadice; dacchè lo stretto, procedendo dall'oceano e formando quel mare, ha i due continenti dall'una parte e dall'altra, ed il Fasi, andando verso il termine del Ponto Eusino, sbocca nel mezzo del semicerchio, manifestamente assumendo l'ufficio del mare nel divider la terra. Tali gli argomenti che producono gli uni e gli altri nella disputa; che però non soltanto

μήκει τε χρόνου κεκόμψευται καὶ ἀνδρῶν τινων παλαιοτάτων δόξῃ, ἐγὼ
δηλώσω, ἐκεῖνο εἰδὼς ὡς ἐκ τοῦ ἐπὶ πλεῖστον ἄνθρωποι ἅπαντες, ἤν
τινος φθάσωσι λόγου ἀρχαίου πεποιημένοι τὴν μάθησιν, οὐκέτι ἐθέλουσι
τῇ τῆς ἀληθείας ζητήσει ἐμφιλοχωροῦντες ταλαιπωρεῖν, οὐδὲ νεωτέραν
τινὰ μεταμαθεῖν ἀμφ' αὐτῷ δόξαν, ἀλλ' ἀεὶ αὐτοῖς τὸ μὲν παλαιότερον 5
ὑγιές τε δοκεῖ καὶ ἔντιμον εἶναι, τὸ δὲ κατ' αὐτοὺς εὐκαταφρόνητον
εἶναι νομίζεται καὶ ἐπὶ τὸ γελοιῶδες χωρεῖ. πρὸς δὲ τούτοις τανῦν
οὐ περὶ νοερῶν ἢ νοητῶν τινος ἢ ἀφανῶν ἄλλως γίνεται ζήτησις, ἀλλ'
H 326 ὑπὲρ ποταμοῦ τε καὶ χώρας· ἅπερ ὁ χρόνος οὔτε ἀμείβειν οὔτε πη
B 484 ἀποκρύψασθαι ἴσχυσεν. ἥ τε γὰρ πεῖρα ἐγγὺς καὶ ἡ ὄψις ἐς μαρτυ- 10
ρίαν ἱκανωτάτη, οὐδέν τε παρεμποδισθήσεσθαι οἶμαι τοῖς τὸ ἀληθὲς
εὑρέσθαι ἐν σπουδῇ ἔχουσιν. ὁ τοίνυν Ἁλικαρνασεὺς Ἡρόδοτος ἐν
τῇ τῶν ἱστοριῶν τετάρτῃ φησὶ μίαν μὲν εἶναι τὴν γῆν ξύμπασαν, νο-

1. μείκοι *W (corr. di m. rec.)* κεκόψεται *D* κεκόμψεται *mf* δόξῃ *om. L; in parent. f (marg.)* 2. εἴ *per* ἣν *WvVf (marg.) L* 3. φθάσωσιν *e* φθάσαντες *WvVL (in marg.* ἔφθασαν*)* πεποιημένου *WvVL* 5. ἀλλὰ ἀεὶ *WvV* 6. ὑγιὲς ἔσται δοκεῖ *WvV* 7. νομίζεται εἶναι *WvVL* ἐπεὶ *W* δοκεῖ *per* χωρεῖ *MeCDmf (in marg.* χωρεῖ*), H* 8. γίγνεται *WvV* 8–9. ἀλλῆ περὶ *(sic) W* ἀλλ' ἢ περὶ *vVf (marg.) L* 10. ἡ *om. W* 10–11. μαρτηρίαν ἱκανωτάτην *D* 11. παραποδισθήσεσθαι *MeCDmf (corr. in marg.), P* 12. ἡρώδοτος *WvV* 13. φησὶν *e* μία *W* γῆν *om. e*

la prima opinione, ma anche questa da me testè riferita si pregi di grande durata di tempo e dell' autorità di taluni antichissimi scrittori io mostrerò, ben sapendo che gli uomini quasi tutti quando abbian la mente preoccupata da qualche antica opinione, non voglion più affannarsi nella ricerca accurata del vero nè prender conoscenza di alcuna nuova veduta su quel soggetto, ma sempre quel che è più antico par loro debba esser vero e rispettabile, e quel che è de' tempi loro da non tenerne conto, seppur non da parer ridicolo. Arrogi che ora non facciam questione circa cose astratte ed astruse, ma circa un fiume ed una regione, cose che il tempo non potè nè mutare nè render nascoste. Lo sperimento sta alla mano e così pure la testimonianza opportunissima del vedere; talchè niun impedimento parmi possa esservi per quanti si studino di trovare il vero. Erodoto di Alicarnasso adunque, nel quarto libro delle *Storie*, dice che una è tutta quanta

μίζεσθαι δὲ εἰς μοίρας τε καὶ προσηγορίας τρεῖς διῃρῆσθαι, Λιβύην
τε καὶ Ἀσίαν καὶ Εὐρώπην. καὶ αὐτῶν Λιβύης μὲν καὶ τῆς Ἀσίας
Νεῖλον τὸν Αἰγύπτιον ποταμὸν μεταξὺ φέρεσθαι, τὴν δὲ δὴ Ἀσίαν
τε καὶ Εὐρώπην διορίζειν τὸν Κολχὸν Φᾶσιν. εἰδὼς δέ τινας ἀμφὶ
5 Ταναΐδι ποταμῷ ταῦτα οἴεσθαι, καὶ τοῦτο ἐν ὑστέρῳ ἐπεῖπε. καί
μοι οὐκ ἄπο καιροῦ ἔδοξεν εἶναι αὐτὰ τοῦ Ἡροδότου τὰ γράμματα P 579
τῷ λόγῳ ἐνθεῖναι ὧδέ πη ἔχοντα « Οὐδὲ ἔχω συμβαλέσθαι ἀπὸ
« τοῦ μιῇ ἐούσῃ γῇ ὀνόματα τριφάσια κέαται, ἐπωνυμίην ἔχοντα γυ-
« ναικῶν, καὶ ὁρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη
10 « καὶ Φᾶσις ὁ Κολχός. οἱ δὲ Τάναϊν ποταμὸν τὸν Μαιώτην καὶ
« πορθμήια τὰ Κιμμέρια λέγουσιν ». ἀλλὰ καὶ ὁ τραγῳδοποιὸς
Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳ-

1. δὲ *om. D* τε *om. e* τρεῖς *om. D* διηρεῖσθαι *MeCDmf (corr.)* διαιρεῖσθαι *WvV, Reg.* 2. ἀσίην *WvVL* Ἐυρώπην] *DWvVL* εὐρ. φημί *gli altri codd. e le edd.* 3. δὴ *om. MeCDmf (agg. in marg.)* 4. διορίζειν] *WvVf (marg.), Reg.* διορίζεσθαι *gli altri codd. e le edd.* κολχικὸν *MCDm f (corr. in marg.), H* κόλχον *WvV* φάσιν *MCDWvVmf* 5. τάναϊν ποταμὸν *MCDmf (corr. in marg.), P* ἐπεῖπεν *e* 6. αὐτοῦ *MeCDmf (corr. in marg.), P* ἡρωδότου *WvV* 7. ἐγὼ ξυμβάλλεσθαι *MeCDmf (corr. in marg.), P* (ἔχω) 8. γᾶ *CDm (-ᾶ in rasura)* ὀνόμ^α^ *W* κέσασθαι *W* κέασθαι *vV* 10. τὸν] *WvVL, Erod.* καὶ *gli altri codd. e le edd.* Μαιώτην] Μαιήτην *Erod. (IV, 45, cf. IV, 123)* μαιῶτιν *i codd. e le edd.* 11. πορθμηία *Cm* θμηία *D* κυμμέρια *D* κιμέρια *W* τραγῳδιοποιός *Cmf (corr. in marg.), H (id.)* 12. ἀισχίλος *V*

la terra, e che suol esser divisa in tre parti e tre denominazioni, cioè a dire: l'Africa, l'Asia e l'Europa; e di queste l'Africa e l'Asia hanno di mezzo il corso del Nilo di Egitto; l'Asia e l'Europa son separate dal Fasi di Colchide. Sapendo però che secondo alcuni tal divisione avviene pel fiume Tanai, anche questa opinione poscia riferisce. Nè a me pare inopportuno introdurre qui le parole stesse scritte da Erodoto, che suonan così: « E questo « io non riesco a spiegare, perchè una sola essendo la terra, abbia « ricevuto tre nomi, che sono nomi di donne, e ne abbian se- « gnate le divisioni il Nilo, fiume d'Egitto, ed il Fasi di Col- « chide. Altri, però, dicono il Tanai fiume dei Meoti e lo stretto « Cimmerio ». Ed anche il tragico Eschilo nel *Prometeo liberato*

δίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ γῆς τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης.

Κἀκεῖνο δέ μοι ἐν τῷ παρόντι εἰρήσεται, ὡς τούτων δὴ τῶν τὰ
B 485 τοιαῦτα σοφῶν οἱ μὲν τὴν Μαιῶτιν οἴονται λίμνην ἀπεργάζεσθαι τὸν Εὔξεινον Πόντον, καὶ αὐτοῦ τὸ μὲν ἐν ἀριστερᾷ, τὸ δὲ ἐν δεξιᾷ τῆς 5 λίμνης χωρεῖν, μητέρα δὲ διὰ τοῦτο τοῦ Πόντου καλεῖσθαι τὴν λίμνην. ταῦτά τέ φασι τεκμηριούμενοι, ὅτι δὴ ἐκ τοῦ καλουμένου Ἱεροῦ ἡ τούτου δὴ τοῦ Πόντου ἐκροὴ ἐπὶ Βυζαντίου καθάπερ τις ποταμὸς κάτεισι, καὶ ἀπ' αὐτοῦ πέρας εἶναι τοῦτο τοῦ Πόντου οἴονται. οἱ δὲ τοῦ λόγου κατηγοροῦντες ἀποφαίνουσιν ὅτι δὴ μία τις ἐξ ὠκεανοῦ ξύμπασα 10 ἡ θάλασσα οὖσα καὶ οὐδαμῆ ἑτέρωθι ἀπολήγουσα ἐς γῆν τὴν Λαζῶν κατατείνει, πλήν γε εἰ μή τις, φασί, τὸ ἐν τοῖς ὀνόμασι διαλλάσσον ἑτερότητα εἴπῃ, ὅτι δὴ τὸ ἐνθένδε ἡ θάλασσα Πόντος ὠνόμασται. εἰ

1. φάσιν *MCDWvVmf* γῆς *om. D* τῆς *dopo* τε *om. MCmf (agg. in marg.)* τῆς τε *D* *Vedi il testo Eschileo presso Arriano, Peripl. P. E. p. 19.* 3. δὴ *om. D* 4. Μαιῶτιν *om. D* μαιώτιν *mf (corr.)* 5. ἐν ἀριστερᾷ *ripete e* 6. τε *per* δὲ *WvV* 7. φασὶν *W* 10-11. *Le parole* μία - οὐδαμῆ *om. D* 10. τις *om. MCmf (agg. in marg.)* 11. ἑτέρωθι] *WvVL* ἑτέρωθεν *gli altri codd. e le edd.* 12. κατατείνι *W* φάσιν *e* τὴν *per* τὸ *MCDmf, H* διαλλάσσον *om. MeCDmf (agg. in marg.), H* 13. ἑταιρότατα *W* ἑταιρό (con τα' sopra) *(cioè* ἑταιρότητα*)* *vV* ἑτερώτατον *L* εἴποι *C* ὀνόμασται *D*

in sul principio della tragedia chiama il fiume Fasi confine dell' Asia e dell' Europa.

E qui pur questo io voglio dire, che taluni degli esperti in tali materie pensano che dalla palude Meotide sia formato il Ponto Eusino, procedendo esso parte a destra, parte a sinistra di quella, e che perciò la palude vien chiamata madre del Ponto. Fondano essi tale opinione sul fatto che questo Ponto corre come un fiume andando dal così detto Hiero verso Bizanzio, per la qual ragione ivi pongono il termine del Ponto. Coloro poi che avversano tale opinione dimostrano che tutto un sol mare procedente dall' oceano si spinge verso il paese dei Lazi, senza avere altro termine altrove, a meno che, dicono, non si voglia chiamare diversità la differenza dei nomi, perchè di là in poi il mare chiamasi Ponto; che se le correnti de' flutti da Hiero vanno a parare

δὲ τὰ ῥεύματα ἐκ τοῦ Ἱεροῦ καλουμένου ἐξίασιν ἐς Βυζάντιον, οὐδὲν
τοῦτο πρᾶγμα. τὰ γὰρ ἐν πορθμοῖς ἅπασι ξυμπίπτοντα πάθη οὐδενὶ
λόγῳ φαίνεται εἴκοντα, οὐδέ τις αὐτὰ φράσαι πώποτε ἱκανὸς γέγονεν.
ἀλλὰ καὶ ὁ Σταγειρίτης Ἀριστοτέλης, σοφὸς ἀνὴρ ἐν τοῖς μάλιστα, ἐν
5 Χαλκίδι τῇ τῆς Εὐβοίας τούτου δὴ ἕνεκα γεγονώς, κατανοῶν τε τὸν ταύτῃ
πορθμόν, ὅνπερ Εὔριπον ὀνομάζουσι, καὶ λόγον τὸν φυσικὸν ἐς τὸ
ἀκριβὲς διερευνᾶσθαι βουλόμενος, ὅπως δὴ καὶ ὅντινα τρόπον ἐνίοτε
μὲν τὰ τοῦ πορθμοῦ τούτου ῥεύματα ἐκ δυσμῶν φέρεται, ἐνίοτε δὲ ἐξ
ἡλίου ἀνατολῶν, καὶ κατὰ ταῦτα πλεῖν τὰ πλοῖα ξύμπαντα ἐνταῦθα
10 ξυμβαίνει, ἢν δέ ποτε τοῦ ῥοῦ ἐξ ἀνίσχοντος ἡλίου ἰόντος, ἀρξαμένων
τε τῶν ναυτῶν ἐνθένδε ξὺν τῇ τοῦ ῥοθίου ἐπιρροῇ ναυτίλλεσθαι, ἧπερ
εἰώθει, ἀπ᾽ἐναντίας αὐτὸ τὸ ῥεῦμα ἴῃ, ὅπερ ἐνταῦθα πολλάκις φιλεῖ
γίνεσθαι, ἀναστρέφει μὲν τὰ πλοῖα ταῦτα εὐθὺς ἔνθεν ὥρμηνται, τὰ

V 189
B 486

1. ἐξίασιν] *WvVf (marg.), Reg.* κατίασιν *MeCDmf, H* κάτεισιν *PB*
3. φαίνονται *MeCDmf (corr. in marg.), H* πῶποτε *CDmf (corr.)* 5. σχολῇ
ἐπὶ *per* Χαλκίδι *MeCDmf (corr. in marg.), H* τῇ *om. MCDmf, P* τούτοι *W*
τούτη *v* γεγωνὸς *W* κατανοῶν τε] *WvVf (marg.), Reg.* κατανοῆσαι *gli altri
codd. e le edd.* 6. ὀνομάζουσιν *e* 7. καὶ ὃν καὶ ὅντινα *D* 10. ἢ ὄντος *W*
ἢ ὄντος *vV* 11. δε *per* τε *f (corr.)* αὐτῶν *DWvV* ἐπιρροῆν αὐτίλεσθαι
W ναυτίλεσθαι *eD* 12. ἐναντίας δὲ *MCDmf* αὐτὸ] *WvVf (marg.), Reg.*
αὐτοῦ *MCDmf, H; om. e, PB* ἴοι *per* ἴῃ *e* ἢ *D* εἴη *WvV* πολλάκις
ἐνταῦθα *WvVL* 13. ἀναστρέφει] *WvVL* ἀναστρέφειν *gli altri codd. e le
edd.* ἐνθένδε *MCDmf (corr. in marg.), HP* ὥρμηται *WvV*

a Bizanzio, ciò non prova nulla, poichè le vicende che avvengono in tutti gli stretti non pare si adattino ad alcuna regola, nè mai alcuno fu capace di spiegarle. Ed invero lo stesso Aristotele Stagirita, sapiente uomo se altri mai, si recò espressamente in Calcide di Eubea per osservare quello stretto che chiamano Euripo, desideroso d' investigare diligentemente la ragione fisica, il perchè e come la corrente di quello stretto a volte proceda da occidente, a volte da oriente; e quindi tutte le navi colà navighino secondo tali corsi; che se quando la corrente procede da oriente e i marinai, come al solito, abbian cominciato a navigar di là seguendo il flusso delle onde, la corrente stessa volga a corso contrario, cosa che ivi spesso suole accadere, tornan quelle navi tosto indietro colà di dove mossero; le altre

δὲ ἄλλα ἐκ δυσμῶν ἐπὶ θάτερα πλεῖ, καίπερ αὐτοῖς τῶν ἀνέμων τινὸς ὡς ἥκιστα ἐπιπνεύσαντος, ἀλλὰ γαλήνης τε βαθείας τινὸς καὶ νηνεμίας ἐνταῦθα οὔσης · ταῦτα ὁ Σταγειρίτης ἐννοῶν τε καὶ ἀνακυκλῶν ἐπὶ χρόνου μῆκος, δυσθανατῶν ἐπὶ ξυννοίᾳ ἧει ἐς τὸ μέτρον τοῦ βίου. οὐ μὴν ἀλλὰ κἀν τῷ τὴν Ἰταλίαν τε καὶ Σικελίαν διείργοντι πορθμῷ 5
P 580 πολλὰ τῷ παραλόγῳ γίνεσθαι πέφυκε. δοκεῖ γὰρ ἐκ τοῦ Ἀδριατικοῦ καλουμένου πελάγους τὸ ῥεῦμα ἐκεῖσε ἰέναι. καίτοι ἐξ ὠκεανοῦ καὶ Γαδείρων ἡ τῆς θαλάσσης πρόσοδος γίνεται. ἀλλὰ καὶ ἴλιγγοι ἐξαπιναίως ἐνταῦθα συχνοὶ ἀπ' οὐδεμιᾶς ἡμῖν φαινομένης αἰτίας τὰς ναῦς διαχρῶνται. καὶ διὰ τοῦτο οἱ ποιηταὶ λέγουσι πρὸς τῆς Χαρύβδεως 10 ῥοφεῖσθαι τὰ πλοῖα, ὅσα ἂν τύχῃ τηνικάδε ὄντα ἐν τῷ πορθμῷ τούτῳ. οὗτοι δὲ ταῦτα δὴ πάντα οἴονται, τὰ πλείστῳ παραλόγῳ ἐν πᾶσι ξυμβαίνοντα τοῖς πορθμοῖς, ἐκ τῆς ἄγχιστα οὔσης ἑκατέρωθεν ἠπείρου

1. πλεῖ] *WvVL* πλεῖν *gli altri codd. e le edd.* 2. τὲ καὶ βαθ. *D* 4. σοφίας ἀφίκετο *per* ξυννοίᾳ ἧει *WvVf(marg.), Reg. (cf. Plat. Polit. III, 406 b).* ξυνοία *f* τοῦ *per* τὸ *(sic) D* 4-5. ἐπεὶ *per* οὐ μὴν ἀλλὰ *WvV, Reg.* 5. καὶ *per* κἀν *D* κᾂν *W* 6. *Innanzi a* γίνεσθαι *f ha in marg.:* « λείπει ἴσ. παραπλήσια ». πέφυκεν *e* ἀνδριαντικοῦ *D* 7. καὶ τοὺς *per* καίτοι *WvV* 9. φαινομένη *D* ναῦ *D* 10. διαχρῶντε *W* λέγουσιν *e* πρὸ *D* χαρίβδεως *D* λαρύβδέως *W* 11. ῥοφᾶσθαι *MeCDmf (corr. in marg.), P* τύχοι *L* 12. δὲ ταῦτα δὴ] *WvVf (marg.), Reg.* δὴ ταῦτα *gli altri codd. e le edd.* διὰ *per* δὴ *e* ἅπαντα *WvVf (marg.), Reg.* πλεῖστα παραλόγως *e* (παραλόγῳ) *WvVf (marg.) L* ἐμπᾶσι *W* ἐμπᾶσι *v* ἔμπασι *L*

invece che partan da occidente, giungono all' altra parte, quantunque niun vento le favorisca ed anzi regni colà una calma e bonaccia profonda. Tali fatti considerando e rivolgendo in mente per lungo tempo lo Stagirita, tanto si tormentò lo spirito che ne venne a morte. Ed anche in quello stretto che separa l' Italia e la Sicilia avvengono assai cose strane; poichè pare che la corrente ivi proceda dal mare Adriatico, mentre invece il mare colà procede dall' oceano e da Cadice. Ed anche ivi si formano spesso, senza alcuna ragione a noi manifesta, vortici repentini, che sprofondan le navi, per la qual ragione dicono i poeti che siano ingoiati da Cariddi i bastimenti che allora si trovino in quello stretto. Tutte queste cose tanto strane che accadono negli stretti si crede provengano dal continente che è prossimo da ambo le

ξυμβαίνειν. βιαζόμενον γάρ φασι τῇ στενοχωρίᾳ τὸ ῥόθιον ἐς ἀτόπους
τινὰς καὶ λόγον οὐκ ἐχούσας ἀνάγκας χωρεῖν. ὥστε εἰ καὶ ὁ ῥοῦς
ἐκ τοῦ Ἱεροῦ καλουμένου ἐς Βυζάντιον δοκεῖ φέρεσθαι, οὐκ ἄν τις
τήν τε θάλασσαν καὶ τὸν Εὔξεινον Πόντον ἀπολήγειν ἰσχυρίσαιτο ἐν- B 487
5 ταῦθα εἰκότως. οὐ γὰρ ἐπὶ στερρᾶς τινος ὁ λόγος ὅδε φύσεως ἕστηκεν,
ἀλλ' ἡ στενοχωρία κἀνταῦθα νικάτω. οὐ μὴν οὐδὲ παντάπασι τὸ
τοιοῦτον ταύτῃ πῃ ἔχει. λέγουσι γὰρ οἱ ἁσπαλιεῖς τῶν τῇδε χωρίων
ὡς οὐχ ὅλος δὴ εὐθὺ τοῦ Βυζαντίου ὁ ῥοῦς κάτεισιν, ἀλλ' αὐτοῦ τὰ
μὲν ἄνω, ἅπερ ἡμῖν διαφανῆ ἐστι, κατὰ ταῦτα ξυμβαίνει ἰέναι, τὰ δέ H 327
10 τοι ἔνερθεν, ἵνα δὴ ἄβυσσός ἐστί τε καὶ ὠνόμασται, τὴν ἐναντίαν τοῖς
ἄνω διαρρήδην χωρεῖν, ἔμπαλίν τε τοῦ φαινομένου ἐς ἀεὶ φέρεσθαι.
ταῦτά τοι, ἐπειδὰν ἄγραν μετιόντες ἰχθύων τὰ λίνα ἐνταῦθά πῃ ἀπορ-
ρίψωσι, ταῦτα δὲ ἀεὶ τῷ ῥεύματι βιαζόμενα τὴν ἐπὶ τὸ Ἱερὸν φέρεται.
ἐν δὲ Λαζικῇ πανταχόθεν ἡ γῆ τῆς θαλάσσης ἀποκρουομένη τὴν

1. φασὶ *Cmf* φησὶ *D* ῥέβιον *D* 2. χωρεὶ *W* χωρεῖ *vVf (marg.), Reg.* 4. τὴν τε θάλασσα *D* ἰσχυρίσαι τὸ *W* 5. ἐπιστερᾶς *f (in marg.:* «ἴσ. ἐπὶ στερεᾶς»*)* 6. παντάπασιν *D* 8. ὅλως *DWvV* εὐθὺς *D* κά-τεισι *e* ἄπεισιν *W* ἄπεισιν *vVf (marg.), Reg.* 9. ἐστιν *e* ἐστὶ *C* ἰέναι ξυμβαίνει *WvVL* 9-10. δέ τοι] μέντοι *WvVL* δέ τι *gli altri codd. e le edd.* 10. ἔνερθεν *om. L* ἄβυσσός τε εἶναι καὶ ὠνομάσθαι *e* 11. χωρεῖ *WvVL* φαίνεται *per* φέρεσθαι *WvV* 12. ποι *per* τοι *Wv* 14. ἀποκρουομένη] *i codd., H* «ἀποκρούει μὲν *I. Sc.*» *f (marg.)* ἀποκρούει *PB*

parti; poichè dicono che il flutto, violentemente ridotto in angusto spazio, segua certe norme strane ed inesplicabili, perlocchè se la corrente par che dall' Hiero volga verso Bizanzio, non per questo si può sostenere verosimilmente che il mare ed il Ponto Eusino abbian termine colà; non essendovi salda ragion naturale per questo argomentare, ma dovendosi pure far valere anche colà l' angustia del luogo. Del resto, la cosa non istà neppure del tutto così; infatti dicono i pescatori di quei luoghi che non tutta la corrente va diritta verso Bizanzio, ma la parte superiore e a noi visibile tiene quella via; la parte inferiore invece, quella cioè dell' abisso, tiene direzione affatto opposta alla superiore e sempre corre in senso contrario a quel che si vede; ond' è che quando, cercando prender pesci, gittano colà le reti, queste dalla forza della corrente son trasportate verso Hiero. Tutta la sponda poi della Lazica tratte-

πρόοδον, καὶ ἀναχαιτίζουσα τὸν αὐτῆς δρόμον, πρῶτόν τε καὶ μόνον ἀπολήγειν αὐτὴν ἐνταῦθα ποιεῖ, τοῦ δημιουργοῦ δηλονότι τὰ ὅρια σφίσι τῇδε θεμένου. ἁπτομένη γὰρ ἡ θάλασσα τῆς ταύτῃ ἠϊόνος οὔτε πρόσω χωρεῖ οὔτε πη ἐς ὕψος ἐπαίρεται μεῖζον, καίπερ πανταχόθεν ἀεὶ περιρρεομένη ποταμῶν ἐκβολαῖς ἀναρίθμων τε καὶ ὑπερφυῶν ἄγαν, ἀλλ' 5 ἀναποδίζουσα ὀπίσω ἐπάνεισιν αὖθις καὶ μέτρον διαριθμουμένη τὸ ταύτης ἴδιον, διασώζει τὸν ἐξ αὐτῆς ὅρον, ὥσπερ τινὰ δειμαίνουσα νόμον, ἀνάγκῃ τε τῇ ἀπ' αὐτοῦ ἐς τὸ ἀκριβὲς σφιγγομένη καὶ φυλασσομένη μή τι τῶν ξυγκειμένων ἐκβᾶσα φανείη. τὰς γὰρ ἄλλας ἁπάσας τῆς θαλάσσης B 488 ἀκτὰς οὐκ ἀπ' ἐναντίας αὐτῇ, ἀλλ' ἐκ πλαγίου ξυμβαίνει κεῖσθαι. ἀλλὰ 10 περὶ μὲν τούτων γινωσκέτω τε καὶ λεγέτω ἕκαστος ὅπῃ αὐτῷ φίλον.

P 581 ζ'. Ὅτου δὲ ὁ Χοσρόης ἕνεκα Λαζικῆς μεταποιεῖσθαι διὰ σπουδῆς εἶχεν ἤδη μὲν πρόσθεν μοι ἐρρήθη· ὃ δὲ δὴ αὐτόν τε καὶ Πέρσας

1. καὶ ἀν.] *WvV;* καὶ *om. gli altri codd. e le edd.* 3. ἀπομένει *WvV f (marg.), Reg.* τῆδε *per* ταύτῃ *e* ἠϊόνος] *e WvV* ἠόνος *gli altri codd. e le edd.* 4-5. περὶ ῥεομένη *D* 5. ἄγων *m* 6. ἐπάνεισι *D* δὴ ἀριθμουμένη *WvVL* 7. ἐξ αὐτῆς] *WvVf (marg.) L* ἑαυτῆς *gli altri codd. e le edd.* σημαίνουσα *D* ἀνάγη *W* 9. ἐκβᾶσαι *D* 11. τε *om. e* ὅπως *MeCDmf (corr. in marg.), P* φίλων *mf (corr. in marg.)* 13. ἐρρύθη *D*

nendo il progresso del mare e reprimendone il corso, fa sì che per prima volta ed ivi soltanto esso si arresti, certamente perchè il Creatore ivi pose i suoi confini. Poichè il mare toccato che abbia quella riva non va più oltre nè si solleva a maggior altezza, quantunque riceva in sè lo sbocco di fiumi innumerevoli e grossi assai, ma retrocede dapprima e poi torna in avanti sulla riva, pur sempre tenendosi alla stessa misura e serbando i limiti da quella impostigli; quasi, rispettoso di una certa legge e costretto per necessità all' ubbidienza esatta di quella, prenda cura che non paia trasgredire alcun che di quanto gli è imposto; poichè tutte le altre sponde del mare non trovansi di contro ad esso, ma di fianco. Ma di queste cose giudichi e dica ciascuno secondo gli aggrada.

VII. Per qual ragione Chosroe si occupasse di far sua la Lazica, già fu da me detto di sopra. Quel che poi più di tutto

μάλιστα πάντων ἐς τοῦτο ἤνεγκεν, ἐνταῦθα δηλώσω, ὅτι δὴ καὶ χώραν
τήνδε περιηγησάμενος ξύμπασαν σαφῆ τὸν περὶ τούτου πεποίηκα λόγον.
πολλάκις οἱ βάρβαροι οὗτοι, Χοσρόου σφίσιν ἡγουμένου, στρατῷ με-
γάλῳ ἐμβαλόντες ἐς Ῥωμαίων τὴν γῆν οὐκ εὐδιήγητα μὲν τοῖς πολε-
5 μίοις ἐπήνεγκαν πάθη, ὥσπερ μοι ἐν τοῖς ὑπὲρ αὐτῶν λόγοις ἐρρήθη, V 190
αὐτοῖς δὲ ὄφελος οὐδ᾽ ὁτιοῦν ἀπενεγκαμένοις ἐνθένδε τοῖς τε χρήμασι
καὶ τοῖς σώμασι πρόσθεν κεκακῶσθαι ξυνέπεσε. πολλοὺς γὰρ ἀπο-
βεβληκότες ἀεὶ ἀπηλλάσσοντο ἐκ Ῥωμαίων τῆς γῆς. διὸ δὴ ἐς ἤθη
ἐπανιόντες τὰ πάτρια Χοσρόῃ ὡς λαθραιότατα ἐλοιδοροῦντο καὶ δια-
10 φθορέα τοῦ Περσῶν γένους αὐτὸν ἀπεκάλουν. καί ποτε καὶ ἐκ Λα-
ζικῆς ἐπανήκοντες, ἐπειδὴ ἐνταῦθα πάθεσιν ἔτυχον ὡμιληκότες ἀνη-
κέστοις τισί, ξυστήσεσθαί τε ἐκ τοῦ ἐμφανοῦς ἐπ᾽ αὐτὸν ἔμελλον καὶ
διαχρήσεσθαι θανάτῳ οἰκτίστῳ, εἰ μὴ προμαθὼν ἐφυλάξατο θωπείᾳ
πολλῇ τοὺς ἐν σφίσι λογιμωτάτους περιελθών. καὶ ἀπ᾽ αὐτοῦ ἀπολο-

2. σύμπασαν *D* πεποίηκε *W v V* 3. σφίσι *D* 4. ἐκβαλόντες *W v V* ἐμβαλλόντες *m* ἐμβάλλοντες *f (corr. in marg.), H* 5. ὥσπερ] *f (marg.), le edd.* ἅπερ *i codd.* 6. χρήμασί τε *D* χρήμασι δὲ *mf (corr.)* 7. πρὸς δὲ *M C D mf (corr. in marg.), H P* κεκακῶσθαι] *i codd., H P* κεκακωμένοις *f (marg.), H (id.) B* 8. ἔθνη *f (marg.) L* 9. χοσρόην *M C D mf, H P* 13. διαχρή-σεσθαι] *le edd.* διαχρήσασθαι *i codd.* θωπία *M C D mf (corr.)*

spinse a ciò lui ed i Persiani verrò qui ad esporre, ora che, avendo descritta tutta questa regione, ho reso intelligibile ciò che dovrò dirne. Spesse volte questi barbari guidati da Chosroe irruppero nell'impero romano e cagionarono ai loro nemici guai inenarrabili, siccome già esposi nei libri ad essi relativi; i quali fatti però ad essi non recarono alcun vantaggio, ma anzi ne riportaron piuttosto danno così negli averi come nelle persone, poichè sempre dovettero ritirarsi dal suolo romano con perdita di molti dei loro; perlocchè tornati in patria copertamente mormoravano contro Chosroe, chiamandolo perdizione della stirpe loro. Ed una volta, reduci dalla Lazica dopo avervi patite gravissime iatture, presero apertamente a cospirare contro di lui, e l' avrebbero crudelmente ucciso se egli, avvertito a tempo, non si fosse premunito accarezzando molto accortamente gli ottimati. Volendo quindi pur-

B 489 γεῖσθαι τὴν κατηγορίαν ἐθέλων μέγα τι ὄφελος Περσῶν τῇ ἀρχῇ
ἐκπορίζεσθαι διὰ σπουδῆς εἶχε. πόλει γοῦν Δάρας αὐτίκα ἐγκεχειρηκὼς
ἀπεκρούσθη ἐνθένδε, ὥσπερ μοι εἴρηται, ἐς ἀπόγνωσίν τε τῆς τοῦ χωρίου
ἐπικρατήσεως παντάπασιν ἦλθεν. οὐδὲ γὰρ αὐτὸ ἐξ ἐπιδρομῆς ἐξαιρή-
σειν τὸ λοιπὸν εἶχεν, οὕτω φυλασσομένων τῶν ἐκείνῃ φρουρῶν, οὐ μὴν 5
οὐδὲ πολιορκῶν μηχανῇ τινι περιέσεσθαι αὐτῶν ἤλπιζε. τά τε γὰρ
ἄλλα τῶν ἐπιτηδείων ἐς ἀεὶ ἐν πόλει Δάρας διαρκῶς ἐστιν ἐξεπίτηδες
ἀποκείμενα, ὅπως δὴ ἐς μέγα τι χρόνου διαρκέσειε μῆκος, καὶ πηγὴ
ἄγχιστά πη φυομένη ἐν χώρᾳ κρημνώδει ποταμὸν ἀπεργάζεται μέγαν,
ὅσπερ τῆς πόλεως εὐθὺ φέρεται, οὐ δυναμένων τῶν ἐπιβουλεύειν ἐφιεμένων 10
ἑτέρωσέ πη αὐτὸν ἀποτρέπειν ἢ τρόπῳ τῳ ἄλλῳ διὰ τὴν δυσχωρίαν
βιάζεσθαι. ἐπειδὰν δὲ τοῦ περιβόλου ἐντὸς γένηται, τήν τε πόλιν
περιιὼν ξύμπασαν καὶ τὰς ταύτῃ δεξαμενὰς ἐμπλησάμενος εἶτα ἔξεισιν,

2. εἶχεν *Dmf* ἐγκεχειρικὼς *CWvV* 3. ἥπερ *WvVf (marg.), Reg.*
5. τολοιπὸν *CDWv* 7. διηνεκῶς *MCDmf, H* ἐστιν] *WvVLf (marg.);*
om. gli altri codd. e le edd. 8. ἀποκείμενα] *WvV* διακείμενα *L* ἐπικεί-
μενα *gli altri codd.* ἐπικείμενά ἐστιν *le edd.* διαρκέσιε μεῖκος *W* 9. χώρῳ
WvV 10. ὥσπερ *W* εὐθὺς *D* φιεμένων *Wv* 11. ἑτέροσε *WvV*
12. εὐθὺς *per* ἐντὸς *MCDmf* εὐθὺ *WvVL* 13. περιὼν *W* δεξαμένας *D*
ἐμπλησάμενος *om. D*

garsi dell' accusa che gli veniva fatta, si diede a cerçare di procacciare all' impero persiano qualche grande incremento. Prese dunque tosto ad attaccare la città di Dara, ma ne fu respinto, siccome io narrai, e dovette rinunziare affatto ad impossessarsene, poichè non gli era più possibile di prenderla d' assalto, custodita così com' era da quel presidio, nè avea alcuna speranza di poterla prendere con assedio. Infatti la città di Dara è sempre appositamente provvista d' ogni vettovaglia, bastevole per lungo tempo, ed una sorgente che trovasi prossima in regione alpestre forma un gran fiume, il quale corre diritto verso la città; talchè coloro che intendono ad assalirla non possono nè volgerlo altrove nè, per le difficoltà del luogo, forzarlo in alcuna maniera. E dopo che quel fiume è entrato nella città e tutta l' ha percorsa riempiendone tutte le cisterne, esce da quella ed in prossimità della cinta cade in una voragine; quindi scompare e dove mai

ὡς ἀγχοτάτω τε τοῦ περιβόλου ἐς χάος ἐμπεσὼν ἀφανίζεται. καὶ ὅπη
ποτὲ τὸ ἐνθένδε ἐκδίδωσιν οὐδενὶ γέγονε φανερὸν ἐς τόδε τοῦ χρόνου.
τοῦτο δὲ τὸ χάος οὐκ ἐπὶ παλαιοῦ γεγονὸς ἔτυχεν, ἀλλὰ χρόνῳ πολλῷ P 582
ὕστερον ἢ τὴν πόλιν Ἀναστάσιος βασιλεὺς ἐδείματο ταύτην, ἡ φύσις
5 αὐτοῦ τοῦ χωρίου ἀπαυτοματίσασα ἔθετο, καὶ δι' αὐτὸ ξυμβαίνει τοῖς
προσεδρεύειν ἐθέλουσιν ἀμφὶ πόλιν Δάρας πιέζεσθαι ὕδατος ἀπορίᾳ
πολλῇ.

Ταύτης οὖν, ὥσπερ μοι εἴρηται, ἀποτυχὼν ὁ Χοσρόης τῆς πείρας
ἐς ἔννοιαν ἦλθεν ὡς, ἢν καὶ πόλιν οἱ Ῥωμαίων ἑτέραν τινὰ παραστή- B 490
10 σασθαι δυνατὰ εἴη, ἀλλὰ καθίζεσθαι οὐ μή ποτε οἷός τε εἴη ἐν μέσῳ
Ῥωμαίων, ὀχυρωμάτων τοῖς πολεμίοις ἀπολελειμμένων ὀπίσω πολλῶν.
καὶ Ἀντιόχειαν γὰρ τούτου δὴ ἕνεκα ἐς ἔδαφος καθελὼν ἀπηλλάγη
ἐκ Ῥωμαίων τῆς γῆς. διὸ δὴ μετεωρισθεὶς τὴν διάνοιαν ἐπὶ μακρο-
τέρας ἐλπίδος ᾠχεῖτο, διερευνώμενος ἀμήχανα ἔργα. ἀκοῇ γὰρ ἔχων

1. ἀγχυτάτω *Wv* ἀγχιτάτω *V* *Dopo* περιβόλου *D ripete le parole* εὐθὺς γένηται *(p. 44, r. 12)* – τε τοῦ *senza omettere* ἐμπλησάμενος *(p. 44, r. 13)*. 2. ἐκδίδωσι *D* γέγονεν *D* 3. ἐκ παλαιοῦ *Scheftlein (p. 53), ma a torto.* 5. αὐτὸ *per* αὐτοῦ *WvV* ἀπ' αὐτοματήσασα *D* διὰ τοῦτο *WvVf (marg.), Reg.* ξυμβαίνειν *D* 8. ὅπερ *WvVL* ὅπερ εἴρηται *f (marg.)* 9. ἔνοιαν *D* οἱ *om. D* 10. δυνατὸν *MCDmf (corr. in marg.), P* εἴη *om. WvV* 12. εἵνεκα *MCDvVmf (corr. in marg.), H* ἐς ἔδαφος *om. MCDmf (agg. in marg.)* ἐξελὼν *MCDmf* καθελὼν ἡνίκα ἐξεῖλεν ἀπ. *WvV, H* καθελὼν ἡνίκα ἀπ. *f (marg.)* 14. ὀχεῖτο *W* ὀχεῖτο *vV*

vada poi a riuscire niuno fin qui potè sapere. Questa voragine non è di antica data, ma di tempo assai posteriore alla fondazione della città sotto l'imperatore Anastasio. La natura stessa del luogo la formò spontaneamente. Quindi accade che coloro che vogliono porre assedio alla città di Dara sono travagliati da grande penuria di acqua.

Chosroe adunque, non riuscito in questo tentativo, riflettè che se pur mai egli potesse impossessarsi di un' altra città romana, non sarebbe in grado di mantenervisi così in mezzo ai Romani, quando indietro rimanessero molte fortezze in poter dei nemici; poichè appunto per tal ragione avea già rasa al suolo Antiochia pria di ritirarsi dal territorio romano. Spingeva egli quindi il pensiero a più lontane speranze meditando ardue imprese. Avendo

H 328 ὄντινα τρόπον ἐπ' ἀριστερᾷ Πόντου τοῦ Εὐξείνου, οὗτοι δὴ βάρβαροι οἳ ἀμφὶ τὴν Μαιῶτιν ᾤκηνται λίμνην ἀδεῶς κατατρέχουσι Ῥωμαίων τὴν γῆν, οὕτω καὶ Πέρσαις Λαζικὴν ἔχουσι πόνῳ οὐδενὶ δυνατὰ ἔσεσθαι ἔλεγεν, ἡνίκα ἂν βουλομένοις ᾖ, εὐθὺ Βυζαντίου ἰέναι, οὐδαμῆ διαπορθμευομένοις τὴν θάλασσαν, ὡς καὶ τὰ ἄλλα βαρβαρικὰ ἔθνη, ἃ 5 ταύτῃ ἵδρυται, ἐς ἀεὶ δρῶσι. διὰ ταῦτα μὲν Λαζικῆς Πέρσαι μεταποιοῦνται. ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.

η'. Χωριάνης μὲν οὖν καὶ ὁ Μήδων στρατὸς ἐστρατοπεδεύσαντο ἀμφὶ τὸν ποταμὸν Ἵππιν. ἐπειδὴ δὲ ταῦτα Γουβάζης τε, ὁ Κόλχων βασιλεύς, ἔμαθε καὶ Δαγισθαῖος, ὅσπερ ἡγεῖτο τοῦ Ῥωμαίων στρατοῦ, 10 ἐπίκοινα βουλευσάμενοι ἦγον ἐπὶ τοὺς πολεμίους τὸ Ῥωμαίων τε καὶ Λαζῶν στράτευμα. γενόμενοί τε Ἵππιδος τοῦ ποταμοῦ ἐπὶ θάτερα

1. ἐπ'] *DWvV* οἱ ἐπ' *gli altri codd. e le edd.* οἳ ἐπ' *van Herwerden* καὶ *per* οὗτοι δὴ βάρβ. *van Herwerden* δὲ *WvV* 2. οἳ] *om. i codd. e le edd.* καὶ ἀδεῶς *MCDmf* 2-3. *Le parole* ἀδεῶς - γῆν *om. WvV* 3. ὡς τὸ *per* οὕτω *WvV* 4. ἔλεγεν *om. WvVL; in parent. f* οὐδαμοῦ *MCDmf (corr. in marg.), P* 5. ὥσπερ *per* ὡς *WvVf (marg.) L* ἃ *om. WvVL* 6. ἵδρυνται *MCDmf, H (marg.)* ἐπ' ἀεὶ δρῶσιν *D* 8. χωρία οἷς μὲν *WvV (οἷ- in rasura)* 9. τὸν *om. WvVL* ἵππείν *mf (corr.)* κολχῶν *WvV* 10. δαγισθέος *WvVL* 11. ἐπίκοινα] *WvVf (marg.), Reg.* ἐς πάγκοινον *gli altri codd. e le edd.* τε *om. WvV; in parent. f*

infatti udito come i barbari che stanno a sinistra del Ponto Eusino sulla palude Meotide liberamente facciano scorrerie sul suolo romano, diceva che così anche i Persiani, quando fossero in possesso della Lazica, facilmente potrebbero a lor talento andar direttamente a Bizanzio senza passare il mare, come pur fanno sempre le altre popolazioni barbare che ivi abitano. Tale è la ragione per cui i Persiani agognano il possesso della Lazica. Ed ora io tornerò col mio dire là donde mi partii.

VIII. Choriane adunque coll' esercito persiano pose accampamento presso il fiume Ippi. All' udir ciò Gubaze re dei Colchi e Dagistheo, duce dell' esercito romano, tenuto fra loro consiglio, mossero colle truppe romane e laze contro i nemici. Passati all' altra sponda del fiume Ippi, e postovi il campo, presero

καὶ αὐτοῦ ἐνστρατοπεδευσάμενοι τὰ παρόντα ἐν βουλῇ εἶχον, πότερα
μένουσί τε αὐτοῖς καὶ δεχομένοις ἐπιόντας τοὺς ἐναντίους ξυνοίσει μᾶλλον V 191
ἢ ἐπὶ τοὺς πολεμίους σφίσιν ἰτέον, ὅπως δὴ θάρσους τοῦ σφετέρου B 491
ποιησάμενοι ἐπίδειξιν Πέρσαις, ἔνδηλά τε τοῖς ἐναντίοις καταστησάμενοι
5 ὡς καταφρονήματι ἐπ' αὐτοὺς ἴωσι, τῆς τε ξυμβολῆς αὐτοὶ ἄρξονται καὶ
δουλῶσαι τῶν ἀνθισταμένων τὸ φρόνημα ἱκανοὶ εἶεν. ἐπειδή τε ἡ
γνώμη ἐνίκα τῶν ἐπὶ τοὺς πολεμίους παρακαλούντων, ὥρμηντο ἐπ'
αὐτοὺς εὐθὺς ἅπαντες. ἐνταῦθα Λαζοὶ Ῥωμαίοις ξυντάσσεσθαι οὐκέτι P 583
ἠξίουν, προτεινόμενοι ὅτι δὴ Ῥωμαῖοι μὲν οὔτε πατρίδος οὔτε τῶν
10 ἀναγκαιοτάτων προκινδυνεύοντες ἐς τὸν ἀγῶνα καθίστανται, αὐτοῖς δὲ
ὑπέρ τε παίδων καὶ γυναικῶν καὶ γῆς τῆς πατρῴας ὁ κίνδυνός ἐστιν.
ὥστε κἂν γυναῖκας τὰς σφετέρας ἐρυθριῷεν, εἰ σφίσι πρὸς τῶν ἐναν-
τίων κρατεῖσθαι ξυμβαίη. ταύτῃ δὴ τῇ ἀνάγκῃ τὴν οὐκ οὖσαν αὐτοῖς
ἀρετὴν αὐτοσχεδιάσειν ὑπώπτευον. πρῶτοι δὲ αὐτοὶ κατὰ μόνας ὤργων

2. πολεμίους *per* ἐναντίους *W v V f (marg.), Reg.* 3. ὅπερ *per* ὅπως *f (corr. in marg.), H* 4. ποιησάμενος *D* ἔνδειλά *M C D m f (corr. in marg.)* καταγησάμενοι *D* 5. ἴωσιν *W v V* τοῖς *per* τῆς *W* τε *om. Reg.* αὐτῆς ἄρχοντες *W v V f (marg.), Reg.* καὶ *om. W v V, Reg.; in parent. f (marg.)* 8. ξυντάσεσθαι *W* 10. ἀναγκαίων *M C D m f (corr. in marg.), H (id.) P* 11. ἔστι *M* ἐστί *C D m f* 12. ἐρυθριῶντες *M C D m f (corr. in marg.)* 13. ξυμβαίνει κρατεῖν *W v V f (marg.) L* γὰρ *per* δὴ *W v V f (marg.) L* 14. ὑπόπτευον *f (corr.)* τε *per* δὲ *W v V*

a discutere sul da fare; se, cioè, meglio convenisse loro aspettar di piè fermo l' assalto dei nemici, oppure marciar contro di essi, onde dar prova ai Persiani del loro coraggio e mostrare ai nemici come non ne facesser caso, andando ad incontrarli, e coll' aprire essi stessi la pugna poter abbattere l' animo di coloro. Vinse il partito di quelli che volean sfidar i nemici; e tosto mossero tutti contro di loro. Ma i Lazi allora ricusarono di marciar insieme coi Romani, dando a motivo che i Romani andando a quella pugna non mettevano a rischio nè la loro patria nè i loro più cari, mentre essi arrischiavano i loro figli, le loro mogli e la terra nativa, talchè avrebber pur dovuto arrossire dinanzi alle donne loro se mai avvenisse che fossero vinti. Collo sprone di tal necessità pensavano essi di poter improvvisare quel valore che loro mancava. Bramavano quindi andar primi e da soli contro

τοῖς πολεμίοις ὁμόσε ἰέναι, ὅπως αὐτοὺς μὴ ξυνταράξωσιν ἐν τῷ ἔργῳ
Ῥωμαῖοι, οὐχ ὁμοίως σφίσιν ἐς τὸν κίνδυνον προθυμούμενοι. ταῦτα
νεανιευσαμένων Λαζῶν περιχαρὴς ὁ Γουβάζης γενόμενος μικρόν τε
ἄποθεν Ῥωμαίων αὐτοὺς ξυγκαλέσας τοιάδε παρεκελεύσατο « Παραίνε-
« σιν μὲν ἐς εὐψυχίαν ὁρμῶσαν οὐκ οἶδα εἴ τινα δεῖ πρὸς ὑμᾶς, ὦ 5
« ἄνδρες, ποιεῖσθαι. οἷς γὰρ ἡ τῶν πραγμάτων ἀνάγκη τὴν προθυ-
« μίαν ἀνίστησι, παρακελεύσεως ἂν οὐδεμιᾶς προσδεῖν οἴομαι, ὅπερ καὶ
B 492 « ὑμῖν ἔν γε τῷ παρόντι τετύχηκεν. ὑπὲρ γυναικῶν γὰρ καὶ παίδων
« καὶ γῆς τῆς πατρῴας καὶ ἁπλῶς εἰπεῖν ὑπὲρ τῶν ὅλων ὁ κίνδυνός
« ἐστιν, ὑπὲρ ὧν ὑμῖν ἐπίασι Πέρσαι. τοῖς δέ τι ἀφαιρεῖσθαι τῶν 10
« ὑπαρχόντων βιαζομένοις οὐδεὶς τῶν πάντων παραχωρεῖ, ἐπιμάχεσθαι
« τῶν προσηκόντων ἀναγκαζούσης τῆς φύσεως. οὐκ ἀγνοεῖτε δὲ ὡς
« Περσῶν τὴν πλεονεξίαν οὐδὲν ἵστησιν, ἐν ἐξουσίᾳ γεγονόσι τοῦ δύ-
« νασθαι, οὐδὲ ἄρξουσι μόνον ὑμῶν ἢ τάξουσι φόρους ἢ τἄλλα κατη-

1. αὐτοῖς *WvV* 2. ὅμοια *WvVL* προθυ|μενοι *(sic) W* 3. μικροὶ *D* δὲ *L*
4. παρακελεύσαντο *D* 5. ὅτι δὴ *per* εἴ τινα δεῖ *WvV* 7. ὥσπερ *MCDmf, P*
8. ὑμῖν] *Wvf (marg.), H (id.)* ἡμῖν *gli altri codd. e le edd.* 10. ὑμῖν] *WvV f (marg.) L* ἡμῖν *gli altri codd. e le edd.* 11. διαχωρεῖ *f (corr.)* ἐπεὶ μάχ. *WvV* 12. δὲ] *WvVL, B; om. gli altri codd., HP* 13. Περσῶν] *MCD WvVmL* πέρσαις *f, le edd.* ἵστησι *D* γεγόνασι *D* γεγονόσι *f (in parent.); om. WvVL* 14. ὑμῶν] *WvV* ἡμῶν *gli altri codd. e le edd.* τὰ ἄλλα *DWvV*

i nemici, perchè i Romani non fosser loro d'impaccio nell'azione non andando al cimento con ardore pari al loro. Gubaze lieto di questa foga dei Lazi, convocatili poco lungi dai Romani, li esortò con queste parole: « Non so, o valenti uomini, se vi sia « bisogno di parlarvi per incitarvi ad essere animosi, poichè non « mi pare che abbian d'uopo di alcuna esortazione coloro che « sono spronati dalla necessità delle cose, siccome presentemente « a voi avviene. Chè per voi trattasi in questo cimento delle « vostre donne e de' figli e della patria terra ed in una parola di « tutto ciò che contro di voi mena i Persiani; e non v'ha chi « voglia cedere alcunchè a coloro che colla forza intendono di « tutto privarlo, dacchè la natura lo costringe a difendere quanto « gli appartiene. Nè voi ignorate che l'avidità dei Persiani non « ha limite quando abbiano in mano il potere. Chè se essi vi « vinceranno in guerra, non si contenteranno di comandarvi, ma

« κόους ποιήσονται, εἴ τι μὴ ἐπιλελήσμεθα ὧν ὁ Χοσρόης ἐγκεχείρηκεν
« ἐφ' ὑμῖν οὐ πολλῷ πρότερον, ἣν νῦν περιέσωνται ὑμῶν τῷ πολέμῳ.
« ἀλλὰ μηδὲ ἄχρι τοῦ λόγου προϊέτω μοι τὰ τῆς Περσῶν πείρας, μηδὲ
« διαλιπέτω τὸ Λαζῶν ὄνομα. οὐ χαλεπὸς δὲ, ὦ ἄνδρες, ἡμῖν ὁ πρὸς
5 « Μήδους ἀγὼν, πολλάκις αὐτοῖς καὶ ἐς χεῖρας ἐλθοῦσι καὶ ὑπερβαλ-
« λομένοις τῇ μάχῃ. τῷ γὰρ ξυνειθισμένῳ τὸ δύσκολον οὐδαμῇ πά-
« ρεστι, προδαπανηθείσης τῆς τοῦ ἔργου ταλαιπωρίας μελέτῃ καὶ πείρᾳ.
« ὥστε διὰ τοῦτο καὶ καταφρονεῖν τῶν πολεμίων, ἅτε νενικημένων ἐν
« ξυμβολαῖς καὶ οὐχ ὡς ὁμοίως θρασυνομένων ἡμᾶς δεήσει. φρόνημα
10 « γὰρ δουλωθὲν ἅπαξ παλινδρομεῖν ἥκιστα εἴωθε. ταῦτα τοίνυν ἐκλο-
« γιζόμενοι μετὰ τῆς ἀγαθῆς ἐλπίδος τοῖς ἐναντίοις ὁμόσε χωρεῖτε ».

Τοσαῦτα Γουβάζης εἰπὼν ἐξῆγε τὸ Λαζῶν στράτευμα, καὶ ἐτάξαντο ὧδε. πρῶτοι μὲν οἱ Λαζῶν ἱππεῖς τεταγμένοι ἀπ' ἐναντίας ᾖεσαν, B 493

1. ὅν *Wv* ὁ *om. WvVL* ἐγκεχείρηκε *D* 2. ὑμῖν] *WvVf (marg.), H (id.)* ἡμῖν *gli altri codd. e le edd.* ἢ *per* ἣν *L* οὖν *per* νῦν *WvVf (marg.) L* περιέσονται *WvV, P* ὑμῶν] *WvVf (marg.) L* ἡμῶν *gli altri codd. e le edd.* 3. προϊέτω μοι *om. MCDmf (agg. in marg.)* 4. διαλειπέτω *L* τῶν *per* τὸ *WvV* χαλεπῶς *DWvV* δὲ *om. D* ὑμῖν *WvVL* 5. καὶ *innanzi* ἐς *om. MCDmf (agg. in marg.)* 5-6. ὑπερβαλλομένους *WvVL* 6. ξυνεθιζομένῳ *WvVf (marg.), Reg.* οὐδαμὴ *W* 9. ὡς *om. WvVL; in parent. f* ἡμῶν *WvVL* « ἡμῖν *I. Sc.* » *f (marg.)* 10. παλινδρομὴν *W* εἴωθεν *WvV*

« v' imporranno tributi e in ogni altra cosa vi tratteranno come « sudditi, se pur non siamo dimentichi di quanto, non molto fa, « Chosroe fece contro di voi. Orsù adunque il vostro ardore « contro i Persiani non si tenga alle parole e non venga meno « a sè stesso il nome dei Lazi. A noi, o valenti uomini, non « riuscirà grave il pugnar contro Persiani, dacchè spesso e felice- « mente combattemmo contro di essi; imperocchè l' essere assue- « fatto sopprime le difficoltà, l' esercizio e l' esperienza avendo già « scemata la molestia dell' opera. Talchè per ciò dovrete voi spre- « giare i nemici come quelli che, vinti nelle battaglie, sono a voi « in ardimento inferiori; chè l' animo una volta abbattuto non è « solito poi tornare a destarsi. Con tali pensieri in mente e « pieni di buona speranza marciate uniti contro i nemici ».

Dopo aver così parlato, Gubaze fece avanzare le truppe laze, disponendole a questo modo: la cavalleria dei Lazi incedeva per

ὄπισθεν δὲ οὐκ ἄγχιστά πη, ἀλλ' ὡς ἀπωτάτω, ἡ Ῥωμαίων ἵππος αὐτοῖς εἵπετο. τούτων δὲ δὴ τῶν Ῥωμαίων ἡγοῦντο Φιλήγαγός τε, Γήπαις γένος, δραστήριος ἀνήρ, καὶ Ἰωάννης Ἀρμένιος, διαφερόντως ἀγαθὸς τὰ πολέμια, Θωμᾶ υἱὸς, ὅνπερ ἐπίκλησιν ἐκάλουν Γούζην, οὗ δὴ κἀν
P 584 τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην. ἐν ὑστέρῳ δὲ Γουβάζης τε ὁ Λαζῶν 5
βασιλεὺς καὶ Δαγισθαῖος ὁ Ῥωμαίων στρατηγὸς ξὺν τοῖς ἀμφοτέρων πεζοῖς εἵποντο, λογισάμενοι ὡς, εἰ τοῖς ἱππεῦσι τραπῆναι ξυμβαίη, ἐς αὐτοὺς ῥᾷστα σωθήσονται. Ῥωμαῖοι μὲν οὖν καὶ Λαζοὶ τῷ τρόπῳ τούτῳ ἐτάξαντο, Χωριάνης δὲ ἄνδρας μὲν χιλίους τῶν οἱ ἑπομένων ἀπολεξάμενος τεθωρακισμένους τε καὶ τἆλλα ἐξωπλισμένους ὡς ἄριστα, 10
H 329 πρόσω ἐπὶ κατασκοπῇ ἔπεμψεν, αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ ὄπισθεν ᾔει, φυλακτήριον ὀλίγων τινῶν ἐν στρατοπέδῳ ἀπολιπών. προτερήσασα δὲ ἡ Λαζῶν ἵππος ἀτιμάζει τὰς ἐπαγγελίας οἷς ἔδρασεν, ἐπὶ τῶν ἔργων διαβαλοῦσα τὰς πρόσθεν ἐλπίδας. τοῖς γὰρ τῶν πολεμίων προδρόμοις
V 192 ἐντετυχηκότες ἐξαπιναίως, οὐκ ἐνεγκόντες τε τὴν αὐτῶν ὄψιν, στρέψαντες 15

1. ἀποτάτω *D* 4. γοβίζην *MCDmf (corr. in marg.), H* κἂν *MCD WVmf (corr.)* 5. τὲ καὶ ὁ *D, P* 7. λογισάμενον *D* ξυμβαίνει *WvV f (marg.), Reg.* 9. ἐτάξατο, χοριάνις *WvV (χοριανις)* οἱ *om. D* 10. τὰ ἄλλα *WvV* 11. δὲ παντὶ *om. D* 12. ἐν τῷ *WvV* προτερήσα *D* 13. ἵππεις *(sic) D* 14. διαβαλλοῦσα *M* 15. τρέψαντες *WvVf (marg.), Reg.*

prima schierata di fronte; dietro ad essa, non dappresso, ma a gran distanza, seguiva la cavalleria romana. Questi Romani eran comandati dal gepide Filegago, uomo coraggioso, e dall' armeno Giovanni, valente guerriero, figlio di Tommaso, cognominato Guze, del quale tenni parola già nei libri antecedenti. Per ultimi seguivano il re dei Lazi, Gubaze, ed il capitano dei Romani, Dagistheo, coi fanti di ambedue, calcolando che se la cavalleria volgesse le terga, riparerebbe facilmente fra questi. I Romani dunque ed i Lazi ordinaronsi in tal modo. Choriane, poi, scelti mille uomini de' suoi, ben muniti di corazza e di ogni altra armatura, li mandò innanzi in esplorazione e marciò egli stesso dietro di loro con tutto l' esercito, lasciando nell' accampamento pochi uomini di guardia. La cavalleria dei Lazi, ch' era all' avanguardia, smentì coi fatti le sue promesse, rovesciando alla prova le speranze di prima, poichè scontratisi subitamente coll' avanguardia

αὐτίκα τοὺς ἵππους, κόσμῳ οὐδενὶ ὀπίσω ἀνέστρεφον, τοῖς τε Ῥωμαίοις ἐπειγόμενοι ἀνεμίγνυντο, ἐς αὐτοὺς οὐκ ἀπαξιοῦντες καταφυγεῖν, οἷς δὴ ξυντάσσεσθαι τὰ πρότερα ὤκνουν. ἐπειδὴ δὲ ἀμφότεροι ἀλλήλων ἄγχιστα ἵκοντο, χειρῶν μὲν τὰ πρῶτα οὐδέτεροι ἦρχον οὐδὲ ξυνέμισγον, B 494
5 ἀλλὰ τῶν ἐναντίων ἑκάτεροι ἐπιόντων μὲν ἀνεπόδιζον, ὑποχωρούντων δὲ ἐπεβάτευον, ἔς τε ὑπαγωγὰς καὶ παλιώξεις καὶ ἀγχιστρόφους μεταβολὰς πολύν τινα κατέτριψαν χρόνον.

Ἦν δέ τις Ἀρταβάνης ὄνομα ἐν τούτῳ τῷ Ῥωμαίων στρατῷ, Περσαρμένιος γένος, ὅσπερ ἐς Ἀρμενίους τοὺς Ῥωμαίων κατηκόους πολλῷ
10 πρότερον ἀπηυτομοληκὼς ἔτυχεν, οὐχ ἁπλῶς, ἀλλὰ φόνῳ Περσῶν εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν μαχίμων, Ῥωμαίοις τὴν ἐς αὐτοὺς πίστιν πεποιημένος ἐχέγγυον. Βαλεριανῷ γὰρ τότε στρατηγοῦντι ἐν Ἀρμενίοις ἐς ὄψιν ἐλθὼν ἄνδρας πεντήκοντα Ῥωμαίους οἱ αὐτῷ διδόναι ἐδεῖτο. τυχών τε

2. ἐπιγινόμενοι *WvVf (marg.), Reg.* εἰς *f (marg.)* 3. ξυντάσεσθαι *Wv* ταπρότερα *WvV* 4. ξυνέμισον *D* 6. ἐπεμβατεύειν *D (corr.)* παλλιώξεις *MCDmf* παλινδιώξεις *WvVf (marg.), Reg.* 9. γένος *in parent. f (marg.)* ὥσπερ *W* ἐς *soprascr. C* ῥωμαίους *D* 10. ἐπηυτομοληκὼς *MCDmf (corr.)* 11. αὐτὸν *WvVf (marg.) L* 13. Ῥωμαίους] *WvVf (marg.), Reg.* τῶν παρὰ ῥωμαίοις *gli altri codd. e le edd.*

nemica, non resistendo alla sua vista, volser tosto i cavalli tornando via disordinatamente e raggiunsero in fretta i Romani, non isdegnando riparare presso coloro coi quali già prima avean ricusato di andare uniti. Giunti che poi furon vicini gli uni e gli altri, dapprima niuna delle due parti aprì la battaglia, nè impegnaron la mischia, ma ognun di loro all' avanzar del nemico indietreggiava, al retrocedere di esso lo incalzava, e così dando indietro e poi di nuovo avanzando, e con continui va e vieni molto tempo si consumò.

In quell' esercito romano v' era un persarmeno di nome Artabane, il quale già molto prima avea disertato presso gli Armeni soggetti ai Romani, e non semplicemente, ma con l' uccisione di centoventi valenti guerrieri persiani, dando pegno ai Romani della sua fedeltà verso di loro. Poichè egli presentatosi a Valeriano, che allora era al comando delle truppe di Armenia, lo pregò di

ὧνπερ ἐβούλετο, ἐς φρούριον ἐν Περσαρμενίοις κείμενον ᾔει. οὗ δὴ
ἑκατόν τε καὶ εἴκοσι ἦν Περσῶν φυλακτήριον, οἵπερ τῷ φρουρίῳ αὐτὸν
ξὺν τοῖς ἑπομένοις ἐδέξαντο, οὔπω ἔνδηλον ὄντα ὅτι δὴ μεταπορευθεὶς
τὴν πολιτείαν νεωτερίζει. ὁ δὲ τούς τε εἴκοσι καὶ ἑκατὸν κτείνας καὶ
ξύμπαντα ληισάμενος τὰ ἐν τῷ φρουρίῳ χρήματα, μεγάλα ὑπερφυῶς 5
ὄντα, παρὰ Βαλεριανὸν καὶ τὸ Ῥωμαίων στράτευμα ᾔει, πιστός τε
σφίσιν ἀπ' αὐτοῦ φανεὶς Ῥωμαίοις τὸ λοιπὸν ξυνεστράτευεν. οὗτος
Ἀρταβάνης ἐν ταύτῃ τῇ μάχῃ δύο ξὺν αὐτῷ τῶν Ῥωμαίων στρατιωτῶν
ἐπαγόμενος ἐν μεταιχμίῳ ἐγένετο, οὗ δὴ ἀφίκοντο καὶ τῶν πολεμίων
B 495 τινές. ἐφ' οὓς Ἀρταβάνης ὁρμήσας, τῶν Περσῶν ἕνα, ψυχῆς τε ἀρετῇ 10
καὶ σώματος ἀλκῇ ἐπιεικῶς μέγαν, τῷ δόρατι εὐθὺς ἔκτεινεν, ἔκ τε
P 585 τοῦ ἵππου ῥίψας προσουδίζει χαμαί. τῶν δέ τις βαρβάρων παρὰ τῷ
πεπτωκότι ἑστὼς ξίφει κατὰ κόρρης ἐπάταξε τὸν Ἀρταβάνην οὐ καιρίαν

1. ἐν] *i codd., Maltreto, B; om. HP* 2. εἴκοσι ἦν] εἴκοσιν *WvV* εἴκοσι (*om.* ἦν) *gli altri codd. e le edd.* οἵπερ] ὑπὲρ *WvV* ὑπὸ *gli altri codd. e le edd.* τῶ φρουρίων αὐτῶν *Wv* (φρουρίω) *V* (*id.*) 4. νεωτερίζοι *vV* ἐκτὸν *D* 5. αὐτῶ *per* ἐν τῷ *D* ὑπερφυῶν *D* 6. ἦλθε, πιστῶς *per* ᾔει, πιστός *WvV* 7. τολοιπὸν *MCIWvmf* (*corr.*) 8. τῶν *om. Dmf* (*agg. in marg.*) 10. οὗ *D* 11-12. *Le parole* ἐκ - χαμαὶ *riferisce Suida s. v.* προσουδίζει 12-13. τὸν πεπτωκότα *WvVf* (*marg.*), *Reg.* 13. κόρης *W* τὸν ἀρταβάνην ἐπάταξεν *WvV* 13-1 (*p. 53*). *Le parole* Ἀρταβάνην - τῶν τῷ *om. D*

dargli cinquanta uomini delle milizie romane, ed ottenutili si recò ad un castello che trovavasi fra i Persarmeni, ed ivi il presidio di centoventi Persiani lo accolse nel castello insieme coi suoi, mentre non aveva egli ancora manifestato di esser ribelle passando ad altri. Ed egli dopo aver uccisi i centoventi e fatto bottino di tutte le ricchezze del castello, ch' erano assai considerevoli, si recò presso Valeriano e l' esercito romano, e mostratosi quindi fedele ad essi, in seguito rimase ascritto alle milizie romane. Questo Artabane in quella battaglia presi seco due soldati romani andò a porsi di mezzo fra i due eserciti, ove avanzaronsi pure alcuni dei nemici. Artabane, fattosi addosso a costoro, subito colla lancia uccise un Persiano di gran valore d' animo e di corpo e, gittatolo giù dal cavallo, lo stese a terra. Uno de' barbari che stava presso al caduto menò colla spada un colpo non mortale sulla

πληγήν. ἅτερός τε τῶν τῷ Ἀρταβάνῃ ἑπισπομένων, Γότθος γένος, τοῦτον δὴ τὸν ἄνδρα, τὴν χεῖρα ἔτι ἐν τῇ τοῦ Ἀρταβάνου κεφαλῇ ἔχοντα, κατὰ λαγόνα ἐπιτυχὼν τὴν εὐώνυμον διεχρήσατο. καὶ οἱ χίλιοι τοῖς ξυμπεπτωκόσιν ἐκπεπληγμένοι ὀπίσω ἐχώρουν, τόν τε Χωριάνην
5 ξὺν τῷ ἄλλῳ Περσῶν τε καὶ Ἀλανῶν στρατῷ ἔμενον καὶ οὐκ ἐς μακρὰν ἀνεμίγνυντο σφίσιν.

Ἤδη δὲ καὶ οἱ ἀμφὶ Γουβάζην καὶ Δαγισθαῖον πεζοὶ ἐς ἱππεῖς τοὺς σφετέρους ἀφίκοντο καὶ ἡ μάχη ἐν χερσὶν ἀμφοτέρωθεν ἦν. τότε δὴ Φιλήγαγός τε καὶ Ἰωάννης, ἐλάσσους εἶναι ἢ ἐνεγκεῖν ἐπιοῦσαν τὴν
10 τῶν βαρβάρων ἵππον οἰόμενοι, μάλιστα ἐπεὶ ἐπέγνωσαν τὴν Λαζῶν δύναμιν, ἀπὸ τῶν ἵππων ἀποθορόντες ταὐτὸ ποιεῖν ἀναγκάζουσι Ῥωμαίους τε καὶ Λαζοὺς ἅπαντας. ἐς φάλαγγά τε ὡς βαθυτάτην ταξάμενοι πεζοὶ μετωπηδὸν ἀντίοι τοῖς πολεμίοις ἔστησαν ἅπαντες, τὰ δόρατα ἐπανατεινόμενοι σφίσιν. οἱ δὲ βάρβαροι οὐκ ἔχοντες ὅ τι γένωνται,
15 οὔτε γὰρ ἐπιδραμεῖν πεζοῖς γε οὖσι τοῖς ἐναντίοις ἠδύναντο οὔτε αὐτῶν

1. τῶν *om. WL* τῶ Ἀ. ἐπισπόμενος *f (marg.) L* 3. τὴν εὐώνυμον *om. MCDmf (corr. in marg.)* 4. ξυμπεπτωκόσι *D* χοριάνην *WvV* 5. σὺν *WvVL* 7. ἐς ὁ ἱππεῖς *(sic) D* 10. ἵππων *D* ἀπέγνωσαν *WvVL* 11. ἀποθορῶντες *MCDmf (corr.)* ταὐτὸ] *W* ταυτὸ *vV* ταὐτὸν *f (marg.) L* ταῦτα *D* ~~ταυτὰ~~ *m* ταὐτὰ *Cf, le edd.* 11-12. ῥωμαίοις *D* 13. μετοπηδὸν *WvV* 15. ἐδύναντο *WvV*

testa di Artabane. Uno però dei due che avean accompagnato Artabane, con un colpo all' inguine sinistro uccise quell' uomo, mentre ancora avea la mano sul capo di Artabane. Ed allora i mille, sgomenti per tali fatti, retrocedettero, aspettando Choriane colle truppe persiane ed alane, e poco dopo con quelle si unirono.

I fanti di Gubaze e Dagistheo avean già raggiunto la propria cavalleria e la pugna s' impegnava da ambo le parti. Allora Filegago e Giovanni, sentendo di non esser da tanto da sostenere l' impeto della cavalleria de' barbari, tanto più dopo aver veduto quanto valesser le forze dei Lazi, balzati giù dai cavalli, obbligarono i Romani ed i Lazi tutti a fare altrettanto. E schieratisi in assai profonda falange a piedi, si opposer tutti di fronte ai nemici colle lance in resta. I barbari non sapean che farsi; poichè non potean correr sopra i nemici che erano a piedi, nè

ξυνταράξαι τὴν φάλαγγα οἷοί τε ἦσαν, ἐπεὶ αὐτοῖς οἱ ἵπποι ταῖς τε τῶν
B 496 δοράτων αἰχμαῖς καὶ τῷ τῶν ἀσπίδων πατάγῳ ἀχϑόμενοι ἀνεχαίτιζον,
ἐπὶ τὰ τόξα ἔβλεπον ἅπαντες, ἐλπίδι ϑαρροῦντες ὡς πλήϑει βελῶν ῥᾷστα
τοὺς πολεμίους ἐς φυγὴν τρέψονται. καὶ Ῥωμαῖοι ξὺν Λαζοῖς ἅπασι
ταὐτὸ τοῦτο ἐποίουν. ἑκατέρωϑέν τε συχνὰ ἐς ἀλλήλους τοξεύματα 5
ᾔει, ἔκ τε ἀμφοτέρων πολλοὶ ἔπιπτον. Πέρσαι μὲν οὖν καὶ Ἀλανοὶ
μάλιστα ξυνεχῆ τὰ βέλη πολλῷ ἔτι μᾶλλον ἢ οἱ ἐναντίοι ἠφίεσαν. ἀλλ'
αὐτῶν τὰ πολλὰ ἐς τὰς ἀσπίδας ξυνέβαινεν ἀποκρούεσϑαι. ἐν τούτῳ
δὲ τῷ πολέμῳ Χωριάνῃ τῷ Περσῶν ἄρχοντι βεβλῆσϑαι ξυνέβη. ὑφ'
ὅτου μέντοι οὗτος ἀνὴρ βληϑείη, φανερὸν οὐδενὶ γέγονεν, τύχῃ γάρ τινι 10
ἐκ τοῦ ὁμίλου ἰὼν ὁ ἄτρακτος ἔς τε τοῦ ἀνϑρώπου τὸν αὐχένα παγεὶς
H 330 εὐϑυωρὸν αὐτὸν διεχρήσατο, ἑνός τε ϑανάτῳ ἀνδρὸς ἥ τε μάχη ἐκλίϑη
καὶ πρὸς Ῥωμαίους ἡ νίκη ἐχώρει. ὁ μὲν γὰρ ἐκ τοῦ ἵππου ἐς τὸ

1. τοῖς *per* ταῖς *D* 2. παττάγω *C* παττάγων *da* παττάγω *m* παττάγωνγω *f (-γων- cancell.)* 3. ἐπίδι *f (corr.)* ϑαρσοῦντες *WvVL* 5. τε *om. D* συχνῶς *MCmf (corr. in marg.), H (id.)* συχνῶν *D* συχνὰ *(come pare, corr. da* συχνῶ*) V* 6. ἴει *MCm* εἴη *D (corr. di pr. m.) WvV* 7. συνεχῆ *WvVL* ἐναντίοις *W* ἀφίεσαν *DWvVf (marg.), Reg.* 8. τὰ *in parent. f; om. L* ξυνέβαινον *MCDmf* 9. δὲ *in parent. f; om. L* δὲ τῷ *om. W* χοριάνι *W* χορίανι *vV* 10. γέγονε *WvVL* τύχῃ γάρ τινι] *WvVf (marg.) L* ἐπεὶ οὕτω πως *gli altri codd. e le edd.* 11. ὁ *om. D* 12. ϑάνατος *WvV* ἐκλίϑη] *MCWvV (corr. da* ἐκλήϑη*) mfL, H* ἐκλήϑη *D* «ἴσ. ἐλύϑη» *f (marg.), H (id.)* ἐλύϑη *PB* 13. πρὸς τοὺς ῥ. *WvVf (marg.) L*

potean riuscire a sgominare la loro falange, dacchè i loro cavalli imbizzarriti dalle punte delle lance e dal fragore degli scudi ricalcitravano. Pensaron quindi a far uso degli archi, sperando che con un gran numero di dardi facilmente volgerebbero in fuga i nemici. I Romani con tutti i Lazi fecero altrettanto, e da ambedue le parti volavano fitti i dardi, molti uccidendo degli uni e degli altri. I Persiani invero e gli Alani saettavano assai più denso che gli avversari, ma le loro saette eran per lo più trattenute dagli scudi. In quella battaglia il duce dei Persiani Choriane fu ferito; chi lo ferisse niuno potè sapere, chè la saetta uscita di mezzo alla turba andò per caso ad infiggersi nel suo collo; e ne rimase ucciso sul colpo. Così colla morte di quell'uomo piegò la battaglia e la vittoria rimase ai Romani; poichè

ἔδαφος ἐπὶ στόμα πεσὼν ἔκειτο, δρόμῳ δὲ πολλῷ ἐπὶ τὸ χαράκωμα V 193
οἵ βάρβαροι ᾔεσαν, οἵ τε Ῥωμαῖοι ξὺν τοῖς Λαζοῖς ἐπισπόμενοι πολλοὺς
ἔκτειναν, ἐλπίδα ἔχοντες αἱρήσειν αὐτοβοεὶ τὸ τῶν ἐναντίων στρατόπεδον.
ἀλλά τις τῶν Ἀλανῶν εὐψυχίας πέρι καὶ σώματος ἰσχύος εὖ ἥκων,
5 τοξεύειν τε συχνὰ ἐφ' ἑκάτερα διαφερόντως ἐξεπιστάμενος, ἐς τοῦ χά-
ρακος τὴν εἴσοδον στενοτάτην οὖσαν εἱστήκει, ἐμπόδιός τε τοῖς ἐπιοῦσι
παρὰ δόξαν ἐπὶ πλεῖστον ἐγίνετο. Ἰωάννης δέ, ὁ τοῦ Θωμᾶ παῖς, μόνος
ὡς ἀγχοτάτω παρ' αὐτὸν ἥκων ἐξαπιναίως τὸν ἄνθρωπον δόρατι ἔκτεινεν, B 497
οὕτω τε Ῥωμαῖοι καὶ Λαζοὶ τοῦ στρατοπέδου τῶν πολεμίων ἐκράτησαν.
10 καὶ τῶν βαρβάρων πλεῖστοι μὲν αὐτοῦ διεφθάρησαν, οἱ δὲ λοιποὶ ἀπεκο- P 586
μίσθησαν ἐς τὰ πάτρια ἤθη, ὡς ἑκάστῳ δυνατὰ γέγονεν. αὕτη μὲν
οὖν ἡ Περσῶν ἐσβολὴ ἐς γῆν τὴν Κολχίδα γενομένη ἐς τοῦτο ἐτελεύτα.
καὶ ἄλλη δὲ Περσῶν στρατιὰ τοὺς ἐν Πέτρᾳ φρουροὺς τῷ τε τῶν ἐπιτη-
δείων πλήθει καὶ πᾶσι τοῖς ἄλλοις ἐπιρρώσαντες ἀνεχώρησαν.

2. ἐπισπώμενοι *MCDmf (corr.)* 3. ἔκτεινον *WvVL* αὐτοβοὴ *M (corr.) mf (corr. di sec. m.)* 4. τῶν τις *van Herwerden* εὐψυχίας πέρι - ἰσχύος] *L* εὐψυχίαν - ἰσχύος *WvV* ἐς εὐψυχίαν σώματος ἰσχύϊ *gli altri codd. e le edd.* εὖ] *om. i codd. e le edd.* 5. φ' ἑκάτερα *(sic) Wv* 6. στενωτάτην *L* 7. παραδόξαν *MCDWmf* 8. αὐτὸν] *WvVf (marg.) L, B* αὐτῷ *MCmf, HP* αὐτῶν *D* ἥκον *W* ἔκτεινε *D* 9. τῶν πολεμίων *om. WvVL* 11-12. οὖν μὲν *P* 12. κοκχίδα *(sic) D* ἀκολχίδα *W* 13. δὴ *WvVL* στρατιᾶ *D*

caduto colui da cavallo bocconi sul suolo, i barbari ritiraronsi di gran corsa nell' accampamento, e i Romani coi Lazi inseguitili, molti ne uccisero, sperando pure di prendere al primo assalto il campo nemico; ma un Alano, robusto della persona quanto animoso ed abilissimo a scagliar spesse saette da destra e da sinistra, messosi sull' ingresso assai angusto dello steccato, trattenne a lungo contro l' aspettazione gli assalitori. Al fine Giovanni, figlio di Tommaso, accostatoglisi da solo, subitamente colla lancia lo uccise; e così i Romani ed i Lazi impadronironsi del campo nemico. Moltissimi dei barbari furon colà trucidati ed i rimanenti tornaronsene, come ciascuno potè, in patria. E così finì questa irruzione dei Persiani nella Colchide; ed anche l' altro esercito persiano, dopo aver fornito e rafforzato il presidio di Petra con vettovaglie ed ogni altra cosa, tornossene via.

θ'. Ἐν τούτῳ δὲ τάδε ξυνηνέχθη γενέσθαι. Λαζοὶ Δαγισθαῖον ἐς βασιλέα διέβαλον, ἐς Βυζάντιον ἥκοντες, προδοσίαν τε καὶ μηδισμὸν ἐπιφέροντες. Πέρσαις γὰρ αὐτὸν ἰσχυρίζοντο ἀναπεισθέντα οὐ βεβουλῆσθαι καταπεπτωκότος τοῦ Πέτρας περιβόλου ἐπιβατεῦσαι, τούς τε πολεμίους θυλάκους μεταξὺ ψάμμου ἐμπλησαμένους καὶ αὐτῶν τὰς ἐπι- 5 βολὰς ἀντὶ λίθων ποιησαμένους τοῦ περιβόλου ὅσα καταπεπτώκει κρατύνασθαι ταύτῃ. ἔλεγόν τε ὡς Δαγισθαῖος, εἴτε χρήμασιν εἴτε ὀλιγωρίᾳ ἐς τοῦτο ἠγμένος, τὴν ἐπίθεσιν ἐς ἕτερόν τινα χρόνον ἀπέθετο, καὶ τοῦ καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκέτι ἀντιλαβέσθαι οἷός τε ἐγεγόνει. αὐτὸν οὖν βασιλεὺς ἐν τῷ οἰκήματι καθείρξας ἐτήρει. 10 Βέσσαν δὲ, ἐξ Ἰταλίας οὐ πολλῷ ἔμπροσθεν ἥκοντα, στρατηγὸν Ἀρ- B 498 μενίων καταστησάμενος ἐς Λαζικὴν πέμπει, ἄρχειν ἐπαγγείλας τοῦ ἐνταῦθα Ῥωμαίων στρατοῦ. οὗ δὴ καὶ Βενίλος, ὁ Βούζου ἀδελφὸς, ξὺν

1. δ' ἀγισθαῖον *MCDmf (corr.)* 2. διέβαλλον *WvVL* ἥκοντα *WvV, Reg.* προσδοσίαν *D* μεδισμὸν *D* ὀνιδισμὸν *Wv* ὀνειδισμὸν *VL* 3. ἰσχυρίζοντα ἀναπισθέντα *D* 4. καταπεπτωκότως *D* τῶ *C (corr.* τοῦ *di m. rec.) Dmf (*τοῦ *in marg.), P* περιβόλῶ *(*ν *soprascr. di m. rec.) C* περιβόλῳ *Dmf, P* περιβό////λου *v* 5. θηλάκους *MCDm* 6. λίθον *W* 6-7. κρατύνεσθαι *Dmf* ταύτῃ κρατύνασθαι *WvVf (marg.) L* 7. δ' ἀγισθαῖος *MCDmf (corr.)* χρήμασι *D* 8-10. *Le parole* τοῦ καιροῦ - ἐγεγόνει *riferisce Suida s. v.* ἀκμή 9. λαβέσθαι *WvVf (marg.), Reg.* 10. ἐγένετο *MCDmf (corr. in marg.), P* αὐτὸς *V (corr.)* 11. βέσσα *D* 12. ἐπιγγείλας *WvV* 13. βενῖλος *Wv*

VIIII. Intanto avvenne quanto segue. I Lazi, recatisi a Bizanzio, calunniarono Dagistheo presso l' imperatore accusandolo di tradimento e d' intesa coi Persiani. Essi affermavano ch' egli dai Persiani si lasciasse indurre a non occupare la cinta rovinata di Petra, e che quindi i nemici empiti dei sacchi di arena e messili al posto in luogo di pietre, aveano così rinforzato le rovine della cinta. Dicevan pure che Dagistheo, sia corrotto con danaro, sia per negligenza, avea rimesso l' assalto ad altro tempo, lasciando passare il momento opportuno che poi non potrebbe più tornare a cogliere. Perlocchè l' imperatore lo fece custodir prigione in casa, e nominato capitano delle milizie di Armenia Bessa, da non molto reduce d' Italia, lo mandò nella Lazica, ordinandogli di prendere il comando dell' esercito romano che colà era. Ivi già

στρατῷ ἤδη σταλεὶς ἔτυχε καὶ Ὀδόναχός τε καὶ Βάβας ἐκ Θράκης καὶ Οὐλίγαγος Ἔρουλος γένος. ὅ τε Ναβέδης ἐσβαλὼν ἐς Λαζικὴν στρατῷ ἄλλο μέν τι λόγου ἄξιον οὐδὲν ἔδρασεν, Ἀβασγοῖς δὲ ἀποστᾶσιν ἀπό τε Ῥωμαίων καὶ Λαζῶν ἐπιχωριάσας τῇ στρατιᾷ ταύτῃ, παῖδας τῶν
5 ἐν σφίσι λογίμων ἑξήκοντα ἐν ὁμήρων λόγῳ πρὸς αὐτῶν ἔλαβε. τότε δὲ ποιούμενος ὁ Ναβέδης ὁδοῦ πάρεργον, καὶ Θεοδώραν Ὀψίτῃ ξυνοικήσασαν (ὃς ἐγεγόνει Γουβάζου μὲν θεῖος, Λαζῶν δὲ βασιλεὺς) εὑρὼν ἐν Ἀψιλίοις εἷλεν, ἔς τε τὰ Περσῶν ἤθη ἀπήνεγκε. Ῥωμαία δὲ γένος ἡ γυνὴ ἐτύγχανεν οὖσα, ἐπεὶ ἐκ παλαιοῦ οἱ Λαζῶν βασιλεῖς ἐς Βυζάν-
10 τιον πέμποντες βασιλέως τε γνώμῃ ξυνιόντες ἐς κῆδός τισι τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς γυναῖκας ἐνθένδε γαμετὰς ἐκομίζοντο. καὶ Γουβάζης ἀμέλει Ῥωμαίας γυναικὸς ἐγεγόνει γόνος. ὅτου δὲ ἕνεκα οἱ Ἀβασγοὶ P 587 οὗτοι ἐς ἀπόστασιν εἶδον, ἐγὼ δηλώσω.

1. ὁ δόναχός *f* Βάβας] *PB* ὁ βάβας *i codd., H* 2. οὐλίγαγγος *MC mf (corr. in marg.), H* οὐλίγγανος *D* ἔρουλλος *MWvVmf* 3. μέντοι *per* μέν τι *WvV* ἀπόστασιν *MCmf (corr.)* ἀπόβασιν *D* 4. καὶ *om. C (soprascr. di m. rec.) Dmf (id.)* 5. αὐτὸν *D* 6. θεωδώραν *f (corr.)* ψίτῃ *(sic) WvV* 7. γουβάδου *D* γουβάζῃ *WvV* *Le parole* μὲν θεῖος – εὑρὼν *dopo* εὑρὼν *ripete D* 8. εἷλε *(sic) D* ἐπήνεγκεν *D* 10. γνώμην *D* τῆς *om. Dmf (agg. di sec. m.)* 11. συγλέτου (χ soprascr.) *W* συγκλήτου *vVL* 12. ῥωμαι *(sic) D* γένος *WvVL* ἀβασμοὶ *D*

erano stati mandati con truppe Benilo, fratello di Buze, ed i traci Odonaco e Baba e l' erulo Uligago. Nabede, penetrato nella Lazica coll' esercito, non fece nulla degno di menzione; soltanto, trovandosi in quella spedizione fra gli Abasghi che aveano defezionato dai Romani e dai Lazi, prese da essi in ostaggio cinquanta figli dei loro maggiorenti. Ed allora pure Nabede, trascorrendo dalla ragione della sua via, trovata fra gli Apsilii Teodora, moglie di Opsite, che fu zio di Gubaze e re dei Lazi, la prese e la menò in Persia. Quella donna era di famiglia romana, poichè già da tempo i re dei Lazi per via di messi spediti a Bizanzio e dietro assenso dell' imperatore s' imparentavano con alcuni del Senato, prendendo di là la moglie, e Gubaze era certamente figlio di una donna romana. Per qual ragione poi questi Abasghi defezionassero, ora dichiarerò.

Ἐπειδὴ βασιλεῖς τοὺς σφετέρους καθεῖλον, ἧπέρ μοι ἔναγχος δεδιήγηται, στρατιῶται Ῥωμαίων πρὸς βασιλέως στελλόμενοι, ἐπεχωρίαζόν τε αὐτοῖς ἐκ τοῦ ἐπὶ πλεῖστον καὶ προσποιεῖσθαι τῇ Ῥωμαίων ἀρχῇ τὴν χώραν ἠξίουν, καινά τε αὐτοῖς ἄττα ἐπέταττον. οἶσπερ Ἀβασγοὶ βιαιοτέροις οὖσιν ἀτεχνῶς ἤχθοντο. δείσαντες οὖν μὴ Ῥωμαίων δοῦλοι 5
B 499 τὸ λοιπὸν ἔσονται, τοὺς ἄρχοντας αὖθις κατεστήσαντο σφίσιν, Ὀψίτην
V 194 μὲν ὄνομα ἐς τῆς χώρας τὰ πρὸς ἀνίσχοντα ἥλιον, Σκεπαρνᾶν δὲ ἐς τὰ πρὸς ἑσπέραν. ἐς ἀγαθῶν γὰρ ἐκπεπτωκότες ἀπόγνωσιν τὰ πρότερον δόξαντα σφίσι μοχθηρὰ εἶναι τῶν ἐπιγενομένων, ἅτε πονηροτέρων ὄντων, ὡς τὸ εἰκός, ἀντηλλάσσοντο, δύναμίν τε ἀπ' αὐτοῦ τὴν Ῥωμαίων 10 δειμαίνοντες Πέρσαις ὡς λαθραιότατα προσεχώρησαν. ἅπερ ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσε, Βέσσαν ἐκέλευε στράτευμα λόγου ἄξιον ἐπαγόμενον ἐπ' αὐτοὺς ἰέναι. ὁ δὲ πολλοὺς ἀπολεξάμενος τοῦ Ῥωμαίων

1. καθῆλον *Wv* μοι *om. L* 2. βασιλέων *MCmf, H* βασιλέα *D* 3. τὴν ῥωμ. ἀρχὴν *WvV* 5. ἀτεχνῶς *om. MCDmf (agg. in marg.)* ἤχθοντο] *WvVf (marg.), Reg.* ἀπήχθοντο *gli altri codd. e le edd.* 6. τολοιπὸν *MC Wvmf* 7. σκεπερνᾶν *Wv* 8. ἀπογνῶσιν *D* 8–9. πρότερα *WvV* 9. σφίσιν *D* 10. ἀπηλλάσσοντο *MCDmf (corr. in marg.), P* ἀντιλλάσσοντο *Wv* τε ἀν τἄυτοῦ *W* τε ἀντ' αὐτοῦ *vVf (marg.) L* 11. πέρσαι *Wv* ἅπερ] *WvVf (marg.), Reg.* ὅπερ *gli altri codd. e le edd.* 12. βέσαν *f* ἐκέλευεν *D* 12–13. ἄξιον ἐπαγόμενον *om. WvV* 13. στεῖλαι *per* ἰέναι *WvV* ἀποδεξάμενος *WvVf (marg.), Reg.*

Dopo che costoro ebbero uccisi i propri re, come testè narrai, i soldati romani mandativi dall' imperatore, intrattenutisi lungamente fra di essi, cercavano di sottomettere quel paese all' impero romano ed imposer loro qualche nuovo tributo. Di tali soprusi gli Abasghi molto si crucciarono. E temendo che in seguito non avessero a divenir servi dei Romani, di nuovo nominaronsi dei re, Opsite per la regione orientale, Sceparna per la occidentale; poichè nella disperazione del bene ciò che prima pareva ad essi gravoso preferirono giustamente a quanto ancor più cattivo eravi succeduto. E quindi per la tema della potenza romana con gran segretezza misersi coi Persiani. Informato di ciò l' imperatore Giustiniano ordinò a Bessa di raccogliere buon nerbo di truppe e spedirle contro di essi; e questi fatta una copiosa scelta dell' esercito romano

στρατοῦ, ἄρχοντάς τε ἐπιστήσας αὐτοῖς Οὐλίγαγόν τε καὶ Ἰωάννην τὸν
Θωμᾶ υἱόν, αὐτίκα ἐπὶ τοὺς Ἀβασγοὺς ναυσὶν ἔπεμψεν. ἐτύγχανε δὲ
ἅτερος μὲν τῶν ἐν Ἀβασγοῖς ἡγουμένων, Σκεπαρνᾶς ὄνομα, ἐν Πέρσαις
τινὰ διατριβὴν ἔχων. μετάπεμπτος γὰρ ὀλίγῳ πρότερον παρὰ Χοσρόην
5 ἀφίκετο. ὁ δὲ δὴ ἕτερος, τὴν Ῥωμαίων μαθὼν ἔφοδον, τούς τε Ἀβασγοὺς
ἅπαντας ἤγειρε καὶ ὑπαντιάζειν διὰ σπουδῆς εἶχε. H 331

Ἔστι δὲ χῶρος μετὰ τοὺς Ἀψιλίων ὅρους ἐν τῇ ἐς τὴν Ἀβασγίαν
εἰσόδῳ τοιόσδε· ὄρος ὑψηλὸν ἐκ τῶν Καυκασίων ἀρχόμενον καὶ κατὰ
βραχὺ ἐλασσούμενόν τε καὶ ὑπολῆγον ὥσπερ τις κλῖμαξ κατατείνει καὶ
10 τελευτᾷ ἐς τὸν Εὔξεινον Πόντον. καὶ φρούριον μὲν ἐχυρώτατόν τε καὶ
μεγέθους πέρι ἀξιολογώτατον ἐκ παλαιοῦ οἱ Ἀβασγοὶ ἐν τῇ ὑπωρείᾳ
τοῦ ὄρους τούτου ἐδείμαντο. οὗ δὴ καταφεύγοντες ἐκκρούουσιν ἀεὶ τὰς
τῶν πολεμίων ἐφόδους, οὐδαμῇ ἐχόντων τὴν δυσχωρίαν βιάζεσθαι. μία B 500
δὲ εἴσοδός ἐστιν εἰσάγουσα ἔς τε τὸ φρούριον τοῦτο καὶ ἐς τὴν ἄλλην

1. στρατοῦ, καὶ ἄρχοντα ἐπιστ. *WvVf (marg.)* οὐλίγαγγον *MCWvVm f, H* 2. καὶ Ἀωμά *D* ἤει *per* ναυσὶν ἐπεμ. *MCDmf (corr. in marg.), H* 3. μὲν *soprascr. di pr. m. V* τὸν *D* ἐν *prima di* Πέρσαις *om. Dmf (agg. di sec. m.)* σκεπαρκᾶς *f (corr.)* 5. ἀφίκετο] *i codd., HP* ἀφῖκτο *B* 6. ὑπαντιάζει *D* εἶχεν *WvV* 7. χῶρας *(sic) W* ἀψιλίας *WvVf (marg.), Reg.* 10. πόντων *(sic) C* ἐχυρώτατόν τε] *L* ἐχυρότατόν τε *WvV* ὀχυρώτατόν τε *f (marg.)* ὀχυρώτατον *(om.* τε*) Reg.* ἐχυρώτατον *(om.* τε*) gli altri codd. e le edd.* 11. περὶ *D* οἱ *om. Wv* 12. ἐκκρούουσι *D* 14. ἐστὶ *D* εἰσάγουσά ἐστιν *WvVL*

e postivi a duci Uligago e Giovanni figlio di Tommaso, tosto li spedì per mare contro gli Abasghi. Uno dei re abasghi, Sceparna, trovavasi allora in Persia ove Chosroe poco prima avealo chiamato; l'altro quando seppe della venuta dei Romani, raccolti tutti gli Abasghi, si apprestò ad incontrarli.

Al di là dei confini degli Apsilii all'ingresso dell'Abasghia v'ha un luogo così configurato: un'alta montagna, cominciando dalla catena del Caucaso poco a poco diminuendo e degradandosi come una scala, giunge e termina al Ponto Eusino. Alle falde di questo monte già un tempo gli Abasghi costruirono un castello fortissimo e di grande estensione. Ivi sogliono essi rifugiarsi e respingere le incursioni dei nemici, incapaci di superare le difficoltà del luogo. V'ha un solo adito a questo castello ed

Ἀβασγῶν χώραν, ἥπερ ἀνδράσι ξύνδυο ἐρχομένοις ἀπόρευτος τυγχάνει
οὖσα. μηχανῇ γὰρ οὐδεμιᾷ ἐστιν ὅτι μὴ κατ' ἄνδρα καὶ μόλις πεζεύοντα
ἐνθένδε ἰέναι. τῆς τε ἀτραποῦ ταύτης ὑπέρκειται φάραγξ ἐς ἄγαν σκληρὰ
ἐκ τοῦ φρουρίου διήκουσα μέχρι ἐς τὴν θάλασσαν. φέρεται δὲ καὶ προ-
σηγορίαν τῆς φάραγγος ἀξίαν ὁ χῶρος, ἐπεὶ αὐτὸν ἑλληνίζοντες οἱ τῇδε 5
ἄνθρωποι τὰ Τραχέα καλοῦσιν. ὁ μὲν οὖν Ῥωμαίων στόλος μεταξὺ
ὁρίων τῶν τε Ἀβασγῶν καὶ Ἀψιλίων κατέπλευσεν, Ἰωάννης δὲ καὶ
Οὐλίγαγος ἐς τὴν γῆν τοὺς στρατιώτας ἀποβιβάσαντες πεζῇ ἐχώρουν,
οἵ τε ναῦται ταῖς ἀκάτοις ἁπάσαις παρὰ τὴν ἠϊόνα τῷ στρατῷ εἵποντο.
P 588 ἐπειδὴ δὲ τῶν Τραχέων ὡς ἀγχοτάτω ἐγένοντο, ἐξωπλισμένους τε ὁρῶσιν 10
Ἀβασγοὺς ἅπαντας καὶ τῆς ἀτραποῦ ὕπερθεν, ἧς ἄρτι ἐμνήσθην, κατὰ
τὴν φάραγγα ὅλην ἐν τάξει ἑστῶτας, ἀμηχανίᾳ τε πολλῇ εἴχοντο ὅπη
θέσθαι τὰ σφίσι παρόντα οὐδαμῇ ἔχοντες, ἕως ἐν αὐτῷ πολλὰ λογι-

1. χώρα *(sic)* *D* ξυνδύο *MCmf, P* ξὺν δύο *D* σύν δυο *Wv* σύνδυο *V* συνδύο *L* 2. μηχανὴ γ. οὐδεμία *Braun* 5-6. ἑλληνίζοντες· οὕτω δὴ καλοῦσιν *WvV* 6. οἱ *per* ὁ *D* *Le parole* με οἱ μὲν οὖν ῥωμαίων στόλος *ripete dopo* στόλος *D* 7. τε τῶν *MCmf (corr. in marg.), H* τὲ καὶ *per* τῶν τε *D* τὲ *per* δὲ *MCDmf, HP* καὶ *om. M* 8. οὐλίγαγγος *Mmf, H* οὐλίγογγος *C* οὐλίγαλος *D* τὴν *om. MCDmf (agg. in marg.)* ἀποβίσαντες *(sic)* *D* 9. ἀκάταις *WvV* ἠϊόνα] *WvV* ἰον̃ (α) *D* ἠόνα *gli altri codd. e le edd.* 10. ἀγχωτάτω *WvV* 12. φάραγκα *D* ὅπη *om. WvVL; in parent. f* 13. θαίσθαι *W* αὐτῷ] *C* αὐτῷ *gli altri codd. e le edd.*

al restante paese degli Abasghi, angusto tanto che due uomini di fronte non posson passarvi; poichè ivi non è possibile che vada più d' uno alla volta e questo anche a piedi. A questo sentiero sovrasta un precipizio assai aspro che va dal castello fino al mare, ed il luogo porta un nome degno del precipizio, poichè quelle genti grecamente lo chiamano « i Trachei » (gli Aspri). La flotta romana adunque approdò fra i confini degli Abasghi e degli Apsilii. Giovanni ed Uligago messi a terra i soldati procedettero a piedi, ed i marinai con tutte le barche seguivano l' esercito lungo la riva. Giunti che furono in prossimità de' Trachei, scorsero tutti gli Abasghi in armi e ordinati lungo il precipizio al di sopra del sentiero testè rammentato. E rimasero in grande imbarazzo non sapendo da dove rifarsi, finchè dopo molta riflessione Giovanni

σάμενος Ἰωάννης ἄκεσίν τινα τοῦ κακοῦ εὗρε. τὸν γὰρ Οὐλίγαγον ξὺν
τῷ ἡμίσει τοῦ στρατοῦ ἐνταῦθα ἐάσας αὐτὸς τοὺς ἄλλους ἐπαγόμενος
τὰς ἀκάτους ἐπλήρου. ἐρέσσοντές τε χῶρον τὸν τῶν Τραχέων περιῆλθόν
τε καὶ διέβησαν ὅλον καὶ κατὰ νώτου τῶν πολεμίων ταύτῃ ἐγένοντο.
5 ἄραντες οὖν τὰ σημεῖα ἐς αὐτοὺς ᾖεσαν. Ἀβασγοὶ δὲ τοὺς πολεμίους
σφίσιν ἑκατέρωθεν ἐγκειμένους ὁρῶντες ἐς ἀλκὴν μὲν οὐκέτι ἔβλεπον, B 501
οὐδὲ τὴν τάξιν ἐφύλασσον, ἐς ὑπαγωγὴν δὲ ξὺν πολλῇ ἀκοσμίᾳ τρα-
πόμενοι πρόσω ἐχώρουν, οὕτω τῷ δέει καὶ τῇ ἀπ' αὐτοῦ ἀμηχανίᾳ συμ-
ποδιζόμενοι ὥστε οὔτε τὴν πατρῴαν σφίσι δυσχωρίαν ἔτι διαγινώσκειν
10 ἐδύναντο οὔτε πῃ εὐπετῶς ἐνθένδε ἰέναι. Ῥωμαῖοι δὲ αὐτοῖς ἑκατέρωθεν
ἐπισπόμενοί τε καὶ καταλαβόντες πολλοὺς ἔκτειναν. δρόμῳ τε ξὺν τοῖς
φεύγουσιν ἐς τὸ φρούριον ἀφικόμενοι ἀνακεκλιμένης ἔτι ἐπιτυγχάνουσι
τῆς ταύτῃ πυλίδος. οἱ γὰρ φύλακες ἐπιθεῖναι τὰς θύρας οὐδαμῇ ἴσχυον,
ἀλλὰ τοὺς φεύγοντας ἔτι ἐδέχοντο. τῶν τε φυγόντων τοῖς διώκουσιν

1. εὗρε] *WvV* εὕρατο *MCDmf, HP* εὕρετο *f(marg.), Reg., B* οὐλίγαγ-
γον *MCDmf, P* ἰλίγαγον *W* ἰλίγαγον *vV* 3. ἐρέσσοντάς *MCDmf (corr. in marg.)* 4. ἐγένετο *WvV* 5. τοῖς πολεμίοις *WvV* 6. ἐγκειμένοις *W vV* ἰδόντες *W* ἰδόντες *vVf (marg.), Reg.* 8. προσεχώρουν, οὕτως *WvVL* 9-10. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 10. πω *D* δὲ *om. D* 11. *Il primo* τε *om. MCDmf (agg. di sec. m.)* ξὺν *om. D* 12. ἀμφικόμενοι *Wv* 13. χεῖρας *per* θύρας *C* οὐδαμῇ] *WvV* οὐδαμοῦ *gli altri codd. e le edd.* εἶχον *per* ἴσχυον *WvVf (marg.), Reg.* 14. διώκουσι *D*

trovò un rimedio al male. Lasciato colà Uligago colla metà delle truppe, egli cogli altri che prese seco, saliron sulle barche; e remigando girarono attorno ai Trachei, oltrepassati i quali, giunsero a tergo dei nemici, e levati i vessilli si fecer loro sopra. Gli Abasghi, vedendo i nemici incalzarli da ambe le parti, demoralizzati abbandonavano il posto e in gran disordine fuggendo andavan dinanzi a sè, tanto impacciati dallo spavento che neppur ritrovavansi più fra le anfrattuosità del luogo loro patrio, nè sapean facilmente cavarsene. I Romani inseguendoli da ambo le parti e cogliendoli, molti ne uccisero. Correndo appresso ai fuggiaschi arrivarono al castello trovandone ancora aperta la porta, poichè le guardie, aspettando tuttavia i fuggiaschi, non s'eran potute risolvere a chiudere. Quei che fuggivano e quei che inseguivano

ἀναμιχθέντων ἐπὶ τὰς πύλας ἵενται ἅπαντες, οἱ μὲν ἐπιθυμίᾳ τοῦ σώζεσθαι, οἱ δὲ τοῦ τὸ φρούριον ἐξελεῖν. ἀνακεκλιμένας οὖν τὰς πύλας εὑρόντες ξυνεισέβαλλον ἐς ταύτας ἀλλήλοις. οἱ γὰρ πυλωροὶ οὔτε διακρίνειν ἀπὸ τῶν πολεμίων τοὺς Ἀβασγοὺς εἶχον οὔτε τὰς πύλας ὑπερβιαζομένου τοῦ ὁμίλου ἐπιτιθέναι. καὶ οἱ μὲν Ἀβασγοὶ ἄσμενοι ἐντὸς 5
τοῦ περιβόλου γενόμενοι ξὺν τῷ φρουρίῳ ἡλίσκοντο, Ῥωμαῖοι δὲ τῶν ἐναντίων κεκρατηκέναι οἰόμενοι πόνῳ δυσκολωτέρῳ ἐνταῦθα ὡμίλουν. τῶν γὰρ οἰκιῶν συχνῶν τε οὐσῶν καὶ οὐ λίαν διεχουσῶν ἀλλήλων, ἀλλὰ καὶ τρόπον τείχους πανταχόθεν ξυμπεφραγμένων, Ἀβασγοὶ ἐς αὐτὰς
V 195 B 502 ἀναβάντες καὶ σθένει παντὶ ἀμυνόμενοι, τοὺς πολεμίους κατὰ κορυφῆς 10
ἔβαλλον, πόνῳ καὶ φόβῳ καὶ τῷ ἐς παῖδάς τε καὶ γυναῖκας ἐλέῳ καὶ τῇ ἐνθένδε ἀπορίᾳ ἐχόμενοι, ἕως Ῥωμαίοις ἐμπρῆσαι τὰς οἰκίας ἐς ἔννοιαν ἦλθε. πῦρ τοίνυν πανταχόθεν αὐταῖς ἀνάψαντες τοῦ ἀγῶνος παντάπασι τούτου ἐκράτησαν. Ὀψίτης μὲν οὖν, ὁ τῶν Ἀβασγῶν ἄρχων,

1. ἵενται *MCDvmf* ἴοντο *f (marg.), H (id.)* ἴονται *L* 2. ἀνακεκλισμένας *D* ἀνακεκλιμένους *W* 3. εὑρόντες] *WvVL* ὁρωντες *gli altri codd. e le edd.* ξὺν εἰσέβαλον *D* συνεισέβαλον *WvVL* εἰς *MCDmf* 7. κεκρατημένους *WvV* 8. οἰκείων *D* 9. συμπεφραγμένων *WvL* αὐτοὺς *D* 10. κορυφὴν *WvVf (marg.) L* 11. πόνῳ] *WvVf (marg.) L* δέει *gli altri codd. e le edd.* 12. ῥωμαίους *W* 13. αὐταῖς πανταχόθεν *WvVL*

andavan tutti insieme verso le porte, gli uni per desiderio di mettersi in salvo, gli altri d' impadronirsi del castello. Vedendo adunque le porte aperte vi dieder dentro alla rinfusa; poichè i guardiani delle porte non potean separare dagli Abasghi i nemici, nè le porte serrare mentre tanta turba irrompeva. Gli Abasghi, che pur eran ben contenti di trovarsi dentro la cinta, eran poi presi insieme col castello; i Romani però che credeano aver superato il nemico, trovaronsi colà in travaglio ancor maggiore. Poichè, molte essendo le case e non discoste fra loro, ma allineate assieme da ogni parte da formar come un muro, gli Abasghi salitivi sopra e difendendosi a tutta possa tiravano dall' alto contro i nemici, esaltati sia dal travaglio e dal terrore, sia dalla pietà per i figli e le mogli che li angustiava; finchè ai Romani venne il pensiero di bruciare le case. Messovi dunque fuoco da ogni parte, ebber completa vittoria in quel conflitto. Opsite, re degli Abasghi, con

ξὺν ὀλίγοις τισὶ φυγεῖν ἴσχυσεν, ἔς τε Οὔννους τοὺς πλησιοχώρους καὶ ὄρος τὸ Καυκάσιον ἀνεχώρησε. τοῖς δὲ δὴ ἄλλοις ἢ ξὺν ταῖς οἰκίαις ἐξηνθρακωμέναις τετεφρῶσθαι ξυνέβη, ἢ ὑπὸ ταῖς τῶν πολεμίων γεγονέναι χερσίν. ἐζώγρησαν δὲ Ῥωμαῖοι καὶ τὰς τῶν ἀρχόντων γυναῖκας 5 ξὺν γόνῳ παντὶ, τοῦ τε φρουρίου τὸν περίβολον ἐς ἔδαφος καθεῖλον καὶ τὴν χώραν ἔρημον κατεστήσαντο ἐκ τοῦ ἐπὶ πλεῖστον. Ἀβασγοῖς μὲν οὖν τὰ τῆς ἀποστάσεως ἐς τοῦτο ἐτελεύτα, ἐν δὲ Ἀψιλίοις ἐγένετο τάδε.

ι΄. Ἀψίλιοι μὲν ἐκ παλαιοῦ κατήκοοι Λαζῶν τυγχάνουσιν ὄντες. 10 ἔστι δέ τι φρούριον ἐν ταύτῃ τῇ χώρᾳ ἐχυρὸν μάλιστα, Τζιβιλὸν αὐτὸ καλοῦσιν οἱ ἐπιχώριοι. τῶν δέ τις ἐν Λαζοῖς λογίμων, Τερδέτης ὄνομα, ὅσπερ εἶχε τὴν τοῦ καλουμένου μαγίστρου ἀρχὴν ἐν τούτῳ τῷ ἔθνει, Γουβάζῃ τῷ τῶν Λαζῶν βασιλεῖ προσκεκρουκώς τε καὶ χαλεπῶς ἔχων, Πέρσαις ὡμολόγησε λάθρα τοῦτο δὴ ἐνδώσειν τὸ φρούριον, στράτευμά

P 589
H 332

2. οἰκείαις *D* 3. ἐξηνθρακωμένοις *WvV* τεφρῶσθαι *WvV* ὑπὸ] *i codd.* πρὸς *le edd.* 4. τὰς *om. L; in parent. f* 5. περίβωλον *D* 6. κατεστήσατο *WvVL* 7. ἀψίλιον *D* 9. τυγχάνουσι *D* 10. ἐχειρῶν *W* τζιβιλίν *WvV* 11. τοῖς *per* τις *WvV* 12. τοῦ *in parent. f* τῷ *om. WvV* 13. τῶν *in parent. f* 14. ἐνδώσεις *D*

alcuni pochi riuscì a sfuggire e riparò presso i vicini Unni e sul monte Caucaso; gli altri o rimasero inceneriti colle case incendiate, o caddero in mano dei nemici. I Romani preser vive anche le mogli dei principi con tutta la prole, e rasa al suolo la cinta del castello, quel paese resero quasi affatto desolato e deserto. La defezione adunque degli Abasghi così andò a finire. Quanto agli Apsilii ecco quel che presso di loro avvenne.

X. Gli Apsilii sono da tempo soggetti ai Lazi, e nel loro paese v' ha un castello assai forte che quella gente chiama Tzibilo. Uno dei maggiorenti lazi di nome Terdete, che teneva presso i suoi la dignità così detta di « magister », essendosi messo in urto con Gubaze re dei Lazi e contro di lui sdegnato, promise di nascosto ai Persiani di dar loro in mano questo castello. E

τε Περσῶν ἐπαγόμενος ἐπὶ ταύτῃ τῇ πράξει ἐς Ἀψιλίους ᾔει. καὶ ἐπεὶ ἄγχιστα τοῦ φρουρίου ἐγένοντο, προτερήσας αὐτὸς ξὺν τοῖς ἑπομένοις οἱ Λαζοῖς ἐντὸς τοῦ περιβόλου ἐγένετο, ἐπεὶ οἱ τὸ φυλακτήριον ταύτῃ ἔχοντες ἀπιστεῖν τῷ Λαζῶν ἄρχοντι οὐδαμῆ εἶχον, οὐδεμιᾷ ἐς αὐτὸν ὑποψίᾳ ἐχόμενοι. οὕτω τε ἀφικόμενον τὸ Περσῶν στράτευμα τῷ φρουρίῳ ὁ Τερδέτης ἐδέξατο. καὶ ἀπ' αὐτοῦ Μῆδοι οὐ Λαζικὴν μόνην, ἀλλὰ καὶ Ἀψιλίαν ἔχεσθαι πρὸς αὐτῶν τότε ᾤοντο. οὔτε δὲ Λαζοὶ οὔτε Ῥωμαῖοι ἀσχολίᾳ τῇ ἀμφὶ Πέτρᾳ τε καὶ τῷ Μήδων στρατῷ πιεζόμενοι Ἀψιλίοις ἐπαμύνειν ἔσχον. ἦν δέ τις γυνὴ τῷ ἄρχοντι τοῦ ἐνταῦθα φυλακτηρίου Ἀψιλία γένος, τὴν ὄψιν εὐπρεπὴς μάλιστα. ταύτης δὴ τῆς γυναικὸς ἐκτόπως ἐρασθεὶς ἐξαπιναίως ὁ τοῦ Περσῶν στρατεύματος ἄρχων τὰ μὲν πρῶτα πειρᾶν ἤρξατο, ἔπειτα δὲ, ἐπεί οἱ πρὸς τῆς γυ-

1. ἀψιλίαν *WvVf (marg.), Reg.* εἴη *D* 2. ἐγένετο *MCDmf (corr. in marg.), P* οἱ ἐπομένοις *MCmf (corr. in marg.), P* οἱ *om. D* 3. ἐγένοντο *WvV* 5. ὑποψίαν *(sic) D* 6. τέρδάτης *WvV* μόνον *WvV* 7. Ἀψιλίαν] *WvVf (marg.), Reg.* ἀψιλίους *gli altri codd. e le edd.* τότε πρὸς αὐτὸν *WvVL* αὐτὸν *D* 7–8. οὔτε δὲ ῥωμαῖοι οὔτε λαζοὶ *WvV* 8. Πέτρᾳ] *WvVf (marg.), Reg.* πέτραν *gli altri codd. e le edd.* τὸν - στρατὸν *MCmf, P* τῶν - στρατὸν *D* 9. Ἀψιλίοις] *WvV, Reg.* ἀψιλίας *MCmf* ἀψιλείας *D* Ἀψιλίᾳ *le edd.* ἀπαμύνειν *D* ἔχον *(sic) D* 10. ἀνεψια *per* Ἀψιλία *(sic) M* ἀνεψιὰ *CDmf (corr. in marg.)* δὲ *mf (corr. in marg.), P* 11. ὑπεραγασθεὶς *MCmf (corr. in marg.), H* ὑπεραγαθεὶς *D* 12. οἱ *om. D*

si recò presso gli Apsilii menando seco a tal uopo delle truppe persiane. Giunti che furono presso al castello, egli avanzatosi coi Lazi che avea seco penetrò nella cinta; poichè la gente di quel presidio non potea negar fiducia ad un duce dei Lazi sul quale non aveano alcun sospetto. E così al venire delle truppe persiane Terdete le accolse nel castello. Per lo che i Persiani credettero che, non soltanto la Lazica, ma anche l'Apsilia fossero allora in loro potere. I Lazi poi e i Romani, tenuti occupati presso Petra dall'esercito persiano, non poteano venir in aiuto degli Apsilii. Aveva il comandante di quel presidio una moglie, apsilia di stirpe, bellissima di aspetto; il capitano delle truppe persiane di subito invaghitosi pazzamente di questa donna, dapprima tentò sedurla, poscia vedendo che non riusciva, non si

ναικὸς οὐδὲν προὐχώρει, βιάζεσθαι μελλήσει αὐτὴν οὐδεμιᾷ ἐνεχείρησεν. οἷς δὴ ὀξὺ θυμωθεὶς ὁ τῆς γυναικὸς ἀνήρ, αὐτόν τε νύκτωρ καὶ τοὺς ξὺν αὐτῷ ἐς τὸ φρούριον εἰσεληλυθότας ἅπαντας ἔκτεινε, παρανάλωμα τῆς τοῦ ἄρχοντος ἐπιθυμίας γεγενημένους, καὶ τὸ φρούριον ἔσχεν αὐτός.
5 Ἀψίλιοί τε Κόλχων διὰ τοῦτο ἀπέστησαν, ἐπικαλοῦντες ὅτι δὴ σφᾶς πρὸς Περσῶν κακουμένους προσποιεῖσθαι οὐδαμῆ ἤθελον. ἀλλὰ Γουβάζης Ῥωμαίων χιλίους καὶ Ἰωάννην τὸν Θωμᾶ υἱόν, οὗπερ ἔναγχος ἐπεμνήσθην, ἐπ' αὐτοὺς ἔπεμψεν· ὅσπερ αὐτοὺς πολλὰ τιθασσεύων ἐπαγαγέσθαι ἀμαχητὶ ἔσχε καὶ Λαζῶν κατηκόους κατεστήσατο αὖθις.
10 τὰ μὲν οὖν ἀμφί τε Ἀψιλίοις καὶ Τζιβίλῳ τῷ φρουρίῳ τῇδε ἐχώρησεν.

Ὑπὸ τοῦτον δὲ τὸν χρόνον Χοσρόῃ ξυνέβη μηδὲ τὸν γόνον τῇ ἀπανθρωπίᾳ τῇ αὐτοῦ ἀνέπαφον μεῖναι. τῶν γάρ οἱ παίδων ὁ πρεσβύτατος Ἀνασώζαδος ὄνομα (δύναται δὲ τοῦτο τῇ Περσῶν φωνῇ ἀθανα- B 504 P 590

1. προυχούρει *D* μελήσει *MCDmf (corr.)* ἀνεχείρησε *D* 3. εἰσεληλυθότας] *WvVf (marg.), Reg.* ἐλυληθότας *(sic) D* ἐληλυθότας *gli altri codd. e le edd.* 4. ἐπαθυμίας *D* τὸ *om. WvVL; in parent. f* 5. κολχῶν *WvV* δὴ *om. MCDmf (agg. in marg.)* 6. προσποιεῖσθαι οὐδαμῆ ἤθελον] *WvVf (marg.), Reg.* οὐδαμῆ ἤμυνον *gli altri codd. e le edd.* 8. ὑπεμνήσθην *WvV* τιθασσεύων] *MCDvVmf, HP* τιθασεύων *WL, B* 10. ἀψιλίους *MC* ἀψίλους *Dmf (corr.)* τὲ καὶ τζιβιλῆ *WvV* 11. μηδὲ *om. MCDmf* τῶν γότθων *WvVL* 12. ἀνθρωπίᾳ *L* εἶναι *MCDmf (corr. in marg.), P* οἱ *om. D* 13. Ἀνασώζαδος] *WvVf (marg.), Reg.* ἀνατώζαδος *gli altri codd. e le edd.*

perito di farle violenza. Il marito della donna salito in gran furore per questi fatti, di notte uccise lui ed insieme tutti quei che con lui eran venuti nel castello, sacrificati così quasi per giunta alla libidine del loro capo; e il castello rimase a lui. Gli Apsilii defezionarono per tal ragione dai Colchi, accusandoli di non aver voluto occuparsi di loro quando i Persiani li maltrattavano. Ma Gubaze mandò contro di essi mille Romani con Giovanni figlio di Tommaso, da me testè ricordato, il quale, senza combattere, se li accattivò con molte carezze e li rese nuovamente soggetti ai Lazi. Tanto sia detto degli Apsilii e del castello di Tzibilo.

Circa quel tempo avvenne che neppur la prole stessa di Chosroe rimanesse intatta dalla sua crudeltà; poichè il maggiore dei suoi figli, di nome Anasozado (che in persiano vuol dire « datore d'im-

τίζων) προσκεκρουκὼς αὐτῷ ἔτυχεν, ἄλλα τε πολλὰ τῇ ἐς τὴν δίαιταν παρανομίᾳ ἐξαμαρτὼν καὶ ταῖς γυναιξὶ τοῦ πατρὸς ὀκνήσει οὐδεμιᾷ ἐς εὐνὴν ξυνιών. τὰ μὲν οὖν πρῶτα φυγῇ τὸν παῖδα τοῦτον ὁ Χοσρόης ἐζημίωσεν. ἔστι δέ τις ἐν Πέρσαις Οὐαζαΐνη χώρα, ἀγαθὴ μάλιστα, οὗ δὴ πόλις Βηλαπάτων καλουμένη οἰκεῖται, ἑπτὰ ἡμερῶν ὁδῷ Κτησιφῶντος διέχουσα. ἐνταῦθα τοῦ πατρὸς ἀπαγγείλαντος Ἀνασώζαδος (V 196) οὗτος διατριβὴν εἶχε. τότε δὲ τῷ Χοσρόῃ χαλεπώτατα νοσῆσαι ξυνέβη, ὥστε καὶ ἐλέχθη ἐξ ἀνθρώπων ἀφανισθῆναι· νοσώδης γὰρ ἦν ὁ Χοσρόης φύσει. ἀμέλει καὶ τοὺς ἰατροὺς πανταχόθεν πολλάκις ἀμφ' αὐτὸν ἤγειρεν, ἐν οἷς καὶ Τριβοῦνος ὁ ἰατρὸς ἦν, Παλαιστῖνος γένος. ὁ δὲ Τριβοῦνος οὗτος λόγιος μὲν ἦν καὶ τὰ ἐς τέχνην τὴν ἰατρικὴν οὐδενὸς ἥσσων, ἄλλως τε σώφρων τε καὶ θεοφιλὴς καὶ τῆς ἐπιεικείας ἐς ἄκρον ἥκων. καί ποτε Χοσρόην κακῶς τοῦ σώματος ἔχοντα ἰασάμενος ἀπηλλάγη

3. ξυνίων *(-νί- in rasura) M* συνών *WvVL* 5. λαπατῶ *MCDm f (corr. in marg.), P* ὁδῷ *om. MCDmf (agg. in marg.)* 6. ἐπαγγείλαντος *van Herwerden* Ἀνασώζαδος] *WvVf(marg.) L* ἀνατώζαδος *gli altri codd. e le edd.* 7. εἶχεν *D* 8. ἀφανισθείη *WvV* νοσώδους *MCDm f (corr. in marg.), P* 9. φύσεως *MCDmf (corr. in marg.), P* αὐτὸν *MCD WvVmf* 10. τοῖς *per* οἷς *MCDmf (corr. in marg.), P* παλαιστηνός *M CWvVmfL* παλαιστῆνος *D* Παλαιστινός *P* 10-10 *(p. 67). Tutto questo luogo* Παλαιστῖνος γένος – ὁ Τριβοῦνος ἔσχε *è riportato in Suida s. v.* Τριβοῦνος 11. λόγιμος *MCDmf (corr. in marg.), H* ἧσσον *MCDmf* 13. καλῶς *W* τοῦ *om. W*

mortalità »), lo aveva offeso perchè, fra i molti peccati di vita licenziosa, non avea esitato neppure a giacersi colle mogli del padre. Dapprima Chosroe punì questo figlio coll' esilio. V' ha in Persia un assai fertile paese chiamato Vazaine ove trovasi la città di Belapatone distante sette giorni di cammino da Ctesifonte. Colà per ordine del padre viveva questo Anasozado, quando Chosroe si ammalò così gravemente che fu anche detto che fosse già morto; poichè infermiccio era Chosroe di sua natura. Come s' intende, egli d' ogni parte raccoglieva medici presso di sè, fra i quali v' era anche Tribuno, medico nativo di Palestina. Questo Tribuno era uomo dotto ed a niuno inferiore nell' arte medica ed inoltre saggio, pio e di grande bontà d' animo. Una volta che Chosroe

ἐκ τῆς Περσῶν χώρας, δῶρα πολλά τε καὶ λόγου ἄξια πρὸς τοῦ ἀν-
θρώπου κεκομισμένος. ἡνίκα τοίνυν ἡ ταύτῃ προτέρα ἐκεχειρία ἐγέ-
νετο, Ἰουστινιανὸν βασιλέα Χοσρόης τὸν ἰατρὸν τοῦτον ξυνδιαιτησόμενον B 505
αὐτῷ ἐς ἐνιαυτὸν ᾔτησε δοῦναι. τῆς τέ οἱ αἰτήσεως ἐπιτελεσθείσης,
5 ὥσπερ μοι ἔμπροσθεν εἴρηται, ἐκέλευσε τὸν Τριβοῦνον ὁ Χοσρόης
αἰτεῖσθαι ὅτου ἂν δέηται. ὁ δὲ ἄλλο οὐδὲν ᾔτει τῶν πάντων χρημάτων
ἢ ὥστε οἱ Ῥωμαίων τῶν αἰχμαλώτων τινὰς Χοσρόην ἀφεῖναι. ὁ δέ
οἱ ἄλλους τε τρισχιλίους ἀφῆκε καὶ ὅσους πρὸς ὄνομα ἐξῃτήσατο ἐν τοῖς
αἰχμαλώτοις λογίμους ὄντας, κλέος τε μέγα ἐκ τοῦ ἔργου τούτου ἐς πάντας
10 ἀνθρώπους ὁ Τριβοῦνος ἔσχε. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

Ἐπειδὴ δὲ Ἀνασώζαδος τὰ Χοσρόῃ τῷ πατρὶ ἀμφὶ τῇ νόσῳ ξυμ-
πεσόντα ἔγνω, τῆς βασιλείας ἐπιβατεύων, νεώτερα πράγματα ἔπρασσε.
τοῦ τε πατρός οἱ ῥαΐσαντος, οὐδέν τι ἧσσον τήν τε πόλιν αὐτὸς ἀποστήσας

1. ἐς τὴν τῶν περ. *(sic)* *D* τῆς τῶν περ. *MCmf*, *HP* 2. ἡ ταύτῃ *om.* *Suida* ταύτης *MCDWvVmL (corr.)* προτέρα *om.* *WvVL*, *Suida*; *in parent.* *f* ἐγκεχειρία *MCDmf (corr.)* ἐκκεχειρία *WvV* 3. συνδιαιτ. *WvVL*, *Suida* 4. αὐτῶ *CWvVmf (corr.)* αὐτὸν *D* ἤτεσε (αι) *M* ἤτησαι *Cmf* οἱ *om.* *Df (agg. in marg.)* αἰτήσεως] *WvV*, *Suida* ξυνδιαιτήσεως *gli altri codd. e le edd.* 5. ἐκέλευσε] *MCWvVmfL*, *Suida* ἐκέλευε *D*, *le edd.* χοσρόη *WvV* 7. οἱ *om.* *Dmf (agg. in marg.)* τινὰ *MCDWvVmf (corr. in marg.)*, *H* 8. οἱ *om.* *D* τε] *Suida*, *le edd.*; *om. i codd.* 9. λογίους *Suida* 11. Ἀνασώζαδος] *WvVf (marg.) L* ἀνατώζαδος *gli altri codd. e le edd.* 12. ἔπρασε *WvV* 13. οἱ *om.* *DWvVL*; *in parent.* *f* οὐραΐσαντος *D*

era malato ed ei lo guarì, lasciò la Persia colmo di molti e ricchi donativi da lui ricevuti. Quando poi fu fatta quella prima tregua, Chosroe pregò Giustiniano imperatore di dargli questo medico, perchè con lui stesse per un anno. Esaudito questo suo desiderio, come io già dissi, Chosroe invitò Tribuno a fargli quella richiesta che desiderasse; e colui di tutte le ricchezze niente richiese, ma sol questo domandò, che Chosroe a lui rilasciasse alcuni dei prigionieri romani. E colui gli rilasciò tutti quei più distinti prigionieri ch'egli chiese nominandoli, e tremila altri per giunta; fatto questo che procacciò a Tribuno gran gloria presso di tutti. E tanto sia detto di ciò.

Quando Anasozado ebbe notizia della malattia del padre, prese ad agognare al principato ed a macchinare ribellione; ed anche dopo guarito suo padre, non men di prima sollevando la città e

H 333 καὶ ὅπλα ἀντάρας ἐς τὸν πόλεμον ἀκμάζων ᾔει. ταῦτα ὁ Χοσρόης ἀκούσας στρατιάν τε καὶ στρατηγὸν Φάβριζον ἐπ' αὐτὸν ἔπεμψε. νικήσας οὖν τῇ μάχῃ ὁ Φάβριζος ὑποχείριόν τε τὸν Ἀνασώζαδον πεποιημένος παρὰ Χοσρόην οὐ πολλῷ ὕστερον ἤνεγκε. καὶ ὃς τοὺς τοῦ παιδὸς ὀφθαλμοὺς ἐλωβήσατο, οὐ τὰς ὄψεις ἀφελόμενος, ἀλλὰ τὰ βλέφαρα τά τε ἄνω καὶ τὰ 5 κάτω ἀκοσμίᾳ πολλῇ ἀντιστρέψας. περόνην γὰρ σιδηρᾶν πυρακτώσας τινὰ καὶ ταύτῃ μυόντοιν τοῖν τοῦ παιδὸς ὀφθαλμοῖν τὰ ἔξω χρίσας, οὕτω δὴ τῶν βλεφάρων τὸν κόσμον λωβήσασθαι ἔσχε. ταῦτα δὲ Χοσρόης τούτου B 506 δὴ ἕνεκα ἐποίει μόνον, ὅπως ἂν τῷ παιδὶ ἀναστέλληται ἡ ἐπὶ τῇ βασιλείᾳ ἐλπίς. ἄνδρα γὰρ λώβῃ ἐχόμενον οὐκέτι ὁ νόμος ἐφίησι βασιλέα 10 καθίστασθαι Πέρσαις, ὥσπερ μοι κἀν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.

P 591 *ια'.* Τῷ μὲν οὖν Ἀνασωζάδῳ τά τε τῆς τύχης καὶ τοῦ τρόπου ἐς τοῦτο ἐτελεύτα· τὸ δὲ πέμπτον ἔτος τῆς ἐκεχειρίας διήνυστο. καὶ

1. ἡ *per* ὁ *v* 3. Ἀνασώζαδον] ἀνασώσανδον *Wv Vf (marg.), Reg.* ἀνατώζαδον *gli altri codd. e le edd.* πεποιησάμενος *D* 4. ἤνεγκε//// *v* 5. *I tre* τὰ *om. Wv V* 6. σιδηρὰν *D* 7. τὰ] *Wv V; om. gli altri codd. e le edd.* 8. βιάζεσθαι *per* λωβήσ. *Wv V* βιάσασθαι *L* 9. μόνου *Wv V* ὅπερ *m f (corr. in marg.), H* ἢ *W* τῇ *om. P* 10. βασιλεῦ *W* 11. μοι *om. Wv VL* κἂν *MCDmf* 12. Τῷ] *Wv V, B* τὰ *gli altri codd., HP* Ἀνασωζάδῳ] ἀνασωσάνδω *Wv Vf (marg.), Reg.* ἀνατωζάδῳ *gli altri codd. e le edd.* τοῦ] *Wv V* τὰ τοῦ *gli altri codd. e le edd.* 13. τῆς *om. D* ἐγκεχειρίας *MCDmf* ἐκκεχειρίας *Wv Vf (di sec. m.)*

prendendo le armi con foga giovanile, mosse la guerra. Udito ciò Chosroe mandò contro di lui un esercito comandato da Fabrizo. E Fabrizo riuscito vincitore e preso Anasozado, poco dopo lo menò a Chosroe. Questi mutilò gli occhi del figlio suo, non accecandolo, ma rovesciandogli assai bruttamente le palpebre superiori ed inferiori, poichè arroventato un ago di ferro e passato quello esteriormente sugli occhi chiusi del figlio, lo privò così dell' ornamento delle palpebre affinchè questi perdesse ogni speranza di regnare; dacchè la legge persiana non permette che un uomo mutilato possa essere re, siccome io dissi anche nei libri antecedenti.

XI. A tal fine menò Anasozado la sorte e l' indole sua; ed intanto veniva a termine il quinto anno della tregua. Allora Giu-

Πέτρον μὲν ἄνδρα πατρίκιον, τὴν τοῦ μαγίστρου ἀρχὴν ἔχοντα, παρὰ Χοσρόην Ἰουστινιανὸς βασιλεὺς ἔστελλεν, ἐφ᾽ ᾧ τὰς σπονδὰς ἀμφὶ τῇ ἑῴᾳ παντάπασι διοικήσωνται. ὁ δὲ αὐτὸν ἀπεπέμψατο, ἔψεσθαί οἱ ἄνδρα οὐκ ἐς μακρὰν ὑποσχόμενος τὸν ταῦτα διαθησόμενον, ὅπη ἑκα-
5 τέροις ξυνοίσειν μέλλει. Ἰσδιγούσναν τε αὖθις οὐ πολλῷ ὕστερον ἔπεμψεν, ὀφρυάζοντά τε καὶ ἀλαζονείᾳ τινὶ ἀμυθήτῳ ἐχόμενον, οὗ δὴ ὅ τε τῦφος καὶ τὸ φύσημα φορητὸν εἶναι Ῥωμαίων οὐδενὶ ἔδοξεν. ἐπήγετο δὲ τήν τε γυναῖκα καὶ τοὺς παῖδας καὶ τὸν ἀδελφὸν, ἑπομένων τε καὶ θεραπευόντων πάμπολυ πλῆθος. εἴκασεν ἄν τις ἐς παράταξιν τοὺς
10 ἄνδρας ἰέναι. εἵποντο δὲ αὐτῷ καὶ δύο τῶν ἐν Πέρσαις λογιμωτάτων, οἳ δὴ καὶ διαδήματα ἐπὶ τῶν κεφαλῶν χρυσᾶ ἐφόρουν. ἔδακνέ τε τοὺς ἐν Βυζαντίῳ ἀνθρώπους, ὅτι δὴ αὐτὸν Ἰουστινιανὸς βασιλεὺς οὐ κατὰ πρεσβευτὴν, ἀλλὰ πολλῷ ἔτι μᾶλλον φιλοφροσύνης τε καὶ μεγαλοπρεπείας ἠξίωσε. Βραδουκίων μέντοι ξὺν αὐτῷ οὐκέτι ἐς Βυζάντιον ἦλθεν, V 197 B 507

3. παντάπασιν *D* διοικήσωνται] *WvVL* διοικήσεται *gli altri codd. e le edd.* οἱ *om. D* 5. Ἰσδιγούσναν] *vV, Reg.* ἰσδιγούναν *C, PB* ἰσδιγούσαν *W* ἰσδιαγούναν *Dmf (in marg.* ἰσδιγοῦσαν*), H* 6. *Le parole* ὀφρυάζοντα - ἐχόμενον *riferisce Suida s. v.* ὀφρυάζω 7. ἔδοξεν εἶναι *MCDmf, HP* 8. τὰς *per* τοὺς *WvVL* 9. καὶ] *WvV; om. gli altri codd. e le edd.* θεραπευόντων] *WvVf (marg.)* θεραπόντων *gli altri codd. e le edd.* εἰς *L* 14. Βραδουκίων] *PB* βραδίκιος *MCDvmf, H* βαδίκιος *W, Reg.* βραδίκιος *(sic) V* μέν τι *W* ἐς βυζάντιον οὐκέτι *WvVL* ἦλθεν *om. D*

stiniano imperatore spedì presso Chosroe il patrizio Pietro insignito della dignità di « magister », perchè conchiudesse ad ogni modo la pace coll' Oriente; ma colui rimandò questi, promettendo che fra non molto seguirebbe un altro che accomodasse tali cose nel modo più conveniente per gli uni e per gli altri. Ed infatti poco dopo mandò nuovamente Isdigusna, uomo accigliato e indicibilmente arrogante, del quale a niun Romano parve supportabile la presunzione e la gonfia alterigia. Ei menava seco anche la moglie e i figli e il fratello con tale una caterva di attendenti e d' inservienti che quasi si sarebbe detto andassero ad una battaglia. Aveva pure a compagni due dei più nobili Persiani, che portavano in capo diademi d' oro. E quei di Bizanzio eran punti dal vedere che Giustiniano imperatore lo trattasse con assai più riguardo e munificenza che si convenisse per un legato. Ma con lui non venne

ἐπεὶ Χοσρόην φασὶν αὐτὸν ἐξ ἀνθρώπων ἀφανίσαι, ἄλλο οὐδὲν τῷ ἀνθρώπῳ ἐπενεγκόντα, πλήν γε δὴ ὅτι ὁμοτράπεζος τῷ Ῥωμαίων βασιλεῖ γέγονεν. οὐ γὰρ ἄν, ἔφη, ἑρμηνεύς γε ὢν ἐς τοῦτο ἀξιώματος πρὸς βασιλέως ἀφίκετο, εἰ μὴ καταπροδοὺς ἔτυχε τὰ Περσῶν πράγματα. τινὲς δὲ τὸν Ἰσδιγούσναν αὐτὸν διαβαλεῖν φασιν, ὡς λάθρα Ῥωμαίοις ἐς λόγους 5 ἔλθοι. τὰ δὲ πρῶτα ὁ πρεσβευτὴς οὗτος βασιλεῖ ἐντυχὼν οὐ μικρὸν ἀμφὶ τῇ εἰρήνῃ, οὐ μέγα εἶπεν, ἀλλ' ᾐτιᾶτο Ῥωμαίους ἐς τὴν ἐκεχειρίαν ἠδικηκέναι, Ἀρέθαν τε καὶ Σαρακηνοὺς τοὺς Ῥωμαίων ἐνσπόνδους Ἀλαμουνδάρῳ ἐν σπονδαῖς λυμήνασθαι φάσκων, ἄλλα τε οὐκ ἀξιόλογα φέρων ἐγκλήματα, ὧνπέρ μοι ἐπιμνησθῆναι οὔ τοι ἀναγκαῖον ἔδοξεν εἶναι. 10

P 592 Ἐν μὲν οὖν Βυζαντίῳ ταῦτα ἐπράσσετο. Βέσσας δὲ παντὶ τῷ Ῥωμαίων στρατῷ Πέτρας ἐς πολιορκίαν καθίστατο. Ῥωμαῖοι μὲν οὖν ἀμφὶ τὸ τεῖχος διώρυσσον, ἵνα δὴ καὶ Δαγισθαῖος τὰ πρότερα τὴν

1. ἐπὶ *D* 2. δὴ *om. WvV; in parent. f* 5. Ἰσδιγούσναν] *WvV* ἰσδιγούσδαν *f (marg.), Reg.* ἰσδιγούναν *gli altri codd. e le edd.* διαβαλλεῖν *M Cmf (corr.)* διαβάλλειν *WvVL* φασὶν *i codd.* 6. ἔλθει *W* 7. ῥωμαίοις *MCDWvVmf (corr.)* ἐγκεχειρίαν *MCDmf* ἐκκεχειρίαν *WvV* 8. ῥωμαίους *D* 8-9. ἀλαμουνδαρίῳ *f (marg.)* 9. λυμήνεσθαι *WvV* 10. τι *CD WvV* 11. βέσας *Dmf (corr. in marg.), H* 12. μὲν οὖν] *WvVf (marg.) L* τε *gli altri codd. e le edd.* 13. τὴν *om. MCDmf (agg. in marg.)*

nuovamente a Bizanzio Braducione, perchè dicono Chosroe lo facesse uccidere, non per altra colpa se non per aver partecipato alla mensa dell' imperatore de' Romani; poichè, diceva, un interprete non sarebbe onorato a tal punto dall' imperatore se non avesse tradito gli interessi dei Persiani. V' ha, però, chi dice che Isdigusna lo denunziasse come colui che di nascosto s' era inteso coi Romani. Questo legato poi, quando dapprima si abboccò coll' imperatore, della pace non parlò nè poco nè molto, ma prese ad accusare i Romani di aver violato la tregua, durante ancora la quale Aretha ed i Saraceni, soci dei Romani, avean vessato Alamundaro; e produceva anche altre accuse di niun conto che neppure parmi necessario qui ricordare.

Tanto adunque avveniva a Bizanzio, quando Bessa con tutto l' esercito romano mise l' assedio a Petra. I Romani presero a scalzare le mura tutt' all' intorno, in quella parte ove già prima

διώρυχα πεποιημένος τὸν περίβολον ταύτῃ καθεῖλεν. ὅτου δὲ δὴ ἕνεκα
ἐς τὸν αὐτὸν χῶρον ὤρυσσον, ἐγὼ δηλώσω. οἱ τὴν πόλιν τὸ ἐξ ἀρχῆς
ταύτῃ δειμάμενοι, ἐπὶ πέτρας μὲν ἔθεντο ἐκ τοῦ ἐπὶ πλεῖστον τὰ τοῦ
περιβόλου θεμέλια, ἐνιαχῇ δὲ καὶ ὑπὲρ χώματος αὐτὰ ξυνέβαινε κεῖσθαι.
5 ἦν δέ τις τοῦ τείχους μοῖρα ἐς τῆς πόλεως τὰ πρὸς ἑσπέραν οὐ λίαν
εὐρεῖα, ἧς δὴ ἑκατέρωθεν ἐπὶ πέτρας τινὸς σκληρᾶς τε καὶ ἀμηχάνου
ὀρύσσεσθαι τοῦ περιβόλου τὰ θεμέλια ἐτεκτήνατο. ταύτην τοίνυν τὴν B 508
μοῖραν Δαγισθαῖός τε τὰ πρότερα καὶ τανῦν Βέσσας διώρυσσον ὁμοίως,
οὐκ ἐφιείσης τῆς τοῦ χωρίου φύσεως σφίσι περαιτέρω ἰέναι, ἀλλὰ τὸ
10 τῆς διώρυχος μῆκος ξυμμετρούσης τε αὐτοῖς καὶ πρυτανευούσης εἰκότως.
ἡνίκα οὖν Πέρσαι μετὰ τὴν Δαγισθαίου ὑπαγωγὴν τὸ καταπεπτωκὸς
τοῦ τείχους ἀνοικοδομήσασθαι ἤθελον, οὐ κατὰ τὰ πρότερα τὴν οἰκο-
δομίαν πεποίηνται, ἀλλὰ τρόπῳ τοιῷδε. κάχληκος τὸν κενωθέντα ἐμ-

1. δὴ *om.* *MCDmf (agg. in marg.)* 3. ταύτῃ] *WvVf (marg.) L* ταύτην *gli altri codd. e le edd.* ἔνθεν τὸ *W* ἔνθεντο *v* 7. ὀρύσσεσθαι] *vV* ὀρέσσ. *W* ὀρίσεσθαι *L*; *om. gli altri codd. e le edd.* ἐτεκτήναντο *MCmf* 8. βέσας *Dm f (corr. in marg.)* διώζυγον *D* διορύσσων *WvV* 9-10. *Le parole* οὐκ ἐφ. - εἰκότως *riferisce Suida s. v.* πρυτανευούσης 9. ἐφιείσης] *Suida, B* ἀφιείσης *W v Vf (marg.)* ἀφείσης *Reg.* ἐνδιδούσης *gli altri codd., HP* 10. συμμετρ. *WvVL* αὐτοῖς] *Suida, PB* αὐτὸ *MCDmf, H* αὐτοὺς *WvV* αὐτῆς *f (marg.), Reg.* 11. τὴν *om. MCDmf (agg. in marg.)* ἀπαγωγὴν *MCDmf (corr. in marg.), H* καταπεπτοκὸς *D* 12. τοῦτο τοῦ *WvV* πρότερον *L* 13. ἀλλὰ *om. Wv VL* κάχληκος] *MCWvV* καλχηκὸς *D* καχληκὸς *mf* κάχλικος *le edd.*

Dagistheo pratticando un cunicolo avea fatto crollare colà la cinta; e per qual ragione scavassero sotto quel luogo vengo ora a dire. Coloro che dapprima colà edificarono la città fondarono le mura per la più gran parte su rupi. Qua e là però esse poggiavano anche su terrapieno. V' era nel lato occidentale della città una parte non molto larga della cinta, ove il muro di qua e di là era fondato su di una rupe dura e non attaccabile con alcun ordigno. Questa parte adunque fu già prima da Dagistheo ed ora da Bessa in egual modo scavata, poichè la natura del luogo non permetteva loro di avanzarsi più oltre, ma imponeva la misura ed i limiti del cunicolo. Quando però i Persiani, ritiratosi Dagistheo, vollero ricostruire la parte del muro ch' era rovinata, non la ricostruirono qual' era prima, ma nel modo seguente. Riempito di ghiaia lo

πλησάμενοι χῶρον δοκοὺς παχείας αὐτοῦ ὕπερθεν ἔθεντο, ἅσπερ ἐνδελεχέστατα ξύσαντες ὁμαλάς τε παντάπασι καταστησάμενοι ἔζευξαν μὲν ἐς ἀλλήλας ἐς μέγα τι εὖρος, κρηπῖδα δὲ αὐτὰς ἀντὶ θεμελίων ποιησάμενοι τοῦ περιβόλου καθύπερθεν αὐτῶν ἐτεκτήναντο τὴν οἰκοδομίαν ἐμπείρως. ὅπερ οὐ ξυνέντες Ῥωμαῖοι ἔνερθεν τῶν θεμελίων ποιεῖσθαι 5
H 334 τὴν διώρυχα ᾤοντο. καὶ τὸν χῶρον κενώσαντες ὅλον ἐκ τῶν δοκῶν, ὧνπερ ἐπεμνήσθην ἀρτίως, ἐπὶ πλεῖστον τῆς γῆς τὸν μὲν περίβολον κατασεῖσαι κατὰ πολλὰ ἴσχυσαν, μοῖρά τε αὐτοῦ ἐξαπιναίως κατεπεπτώκει, οὐ μέντοι οὔτε πη ἐπὶ θάτερον τὸ πεπτωκὸς τοῦτο ἐκλίθη οὔτε τις αὐτῷ τῶν λίθων ἐπιβολὴ ξυνεταράχθη, ἀλλ' ἀκραιφνὲς ὅλον 10 εὐθείᾳ τινὶ καταβάσει, ὥσπερ ἐκ μηχανῆς, ἐς τὸν κενωθέντα χῶρον καταβὰν ἔστη, καὶ τὴν οἰκείαν ἐφύλασσε χώραν, οὐκ ἐς ὕψος ὅσον τὰ
B 509 πρότερα, ἀλλ' ἔτι ἧσσον. κενωθέντος οὖν παντὸς τοῦ τῶν δοκῶν ἔνερθε χώρου ὑφιζάνειν αὐτὰς ἐνταῦθα ξὺν τῇ ὑπὲρ αὐτὰς οἰκοδομίᾳ πάσῃ

1. παχεῖαν *W* 3. τι *om. D* κρηπῖδα] κρηπίδα *WvV* κρηπῖδας *gli altri codd. e le edd.* αὐτοὺς *D* 4. οἰκοδομὴν *MCDmf (corr. in marg.), P* 5. ξυνέντες] *WvVL* ξυνιέντες *gli altri codd. e le edd.* 7. περιβωλον *D* 8. καπολὺ *(sic) W* πολὺ *VL* καταπολὺ *v* αὐτῶν *WvL* 9–10. οὔτε – οὔτε] *B* οὐδὲ – οὐδὲ *i codd., HP* 9. θάτερα *WvV* 11. εὐθὺς *MCD mf (marg.), Reg.* εὐθεια (ὺς) *f* τόπον *per* χῶρον *f (marg.), Reg.* 12. ἔστι *D* τε ὅσον *D* 13. ἔνερθεν 14. ξὺν τῇ *om. L*

spazio rimasto vuoto, vi poser sopra delle grosse travi, e queste, accuratamente piallate e bene spianate, riunirono assieme per una grande larghezza. E facendo che queste basi servissero di fondamento al muro, su di esse opportunamente eseguirono la costruzione. Ignari di ciò, i Romani credevano di fare il cunicolo al di sotto delle fondamenta, e vuotato che ebbero di gran quantità di terra lo spazio sottoposto alle travi testè rammentate, riuscirono a scuotere fortemente il muro, una parte del quale ad un tratto cadde giù, non però inclinandosi di qua nè di là nè rompendo la compagine delle pietre, ma tutto intiero, scendendo a perpendicolo come da una macchina, andò a posarsi nello spazio vuotato serbando il suo posto primiero, solo rimanendo non tanto alto quanto prima, ma più basso. Quindi essendo stato vuotato tutto lo spazio di sotto alle travi, queste posaronsi laggiù insieme

ξυνέβη. τοῖς δὲ Ῥωμαίοις οὐδ' ὣς ἐσβατὸν ἐγεγόνει τὸ τεῖχος. ὁ γὰρ τῶν Περσῶν ὅμιλος, ἡνίκα πολὺς ξὺν τῷ Μερμερόῃ ἐνταῦθα ἦλθε, μέγα τι χρῆμα τῇ πρόσθεν οἰκοδομίᾳ ἐνθέμενοι ὑψηλὸν ἐς ἄγαν τὸν περίβολον ἐτεκτήναντο. Ῥωμαῖοι μὲν οὖν, ἐπειδὴ τοῦ περιβόλου τὸ κατα-
5 σεισθὲν αὖθις ἑστηκὸς εἶδον, διηποροῦντό τε καὶ ἀμηχανίᾳ πολλῇ εἴχοντο. οὔτε γὰρ διορύσσειν ἔτι ἠδύναντο, ἐς τοῦτο ἀποκεκρυμμένης τῆς κατώρυχος σφίσι, κριῷ τε χρῆσθαι οὐδαμῆ εἶχον, ἐπεὶ ἐν μὲν τῷ ἀνάντει ἐτειχομάχουν ἡ δὲ μηχανὴ αὕτη ἐφέλκεσθαι οὐχ οἵα τέ ἐστιν ὅτι μὴ ἐν χωρίῳ ὁμαλῷ τε καὶ λίαν ὑπτίῳ.

10 Τύχῃ δέ τινι ξυνεκύρησεν ἐν τούτῳ τῷ Ῥωμαίων στρατῷ εἶναι βαρβάρων τῶν Σαβείρων ὀλίγους τινὰς ἐξ αἰτίας τοιᾶσδε. οἱ Σάβειροι, ἔθνος μέν ἐστιν Οὐννικὸν, ᾤκηνται δὲ ἀμφὶ τὰ Καυκάσια ὄρη, πάμπολυ πλῆθος μὲν ἐς ἄγαν ὄντες, ἐς ἀρχὰς δὲ πολλὰς ἐπιεικῶς διῃρημένοι. τούτων δὲ τῶν ἀρχόντων οἱ μέν τινές εἰσι τῷ Ῥωμαίων αὐτοκράτορι, P 593 V 198

1. ξυμβαίνει *D (in marg.* γραφ. ξυνέβη.*)* 3. τῇ *om. WvV* οἰκοδομίας *WvV* ὑψυλὸν *D* 3-4. περίβωλον *D* 4-5. τοῦ κατασεισθέντος καὶ θεμένου *per* τὸ κατασεισθὲν *WvVf(marg.), Reg.* 5. ἑστηκὼς *M(corr.)* 6. ἀποκεκριμένης *Braun* 7. χρῆσθαι κριῷ τε *MCDmf (corr. in marg.), H* μὲν] *WvVL; om. gli altri codd. e le edd.* ἀνάντι *D* 10. ξυνεκέρησεν *MCDmf* ξυνεκύρισεν *WvV* 11. σαβήρων ὀλ. *WvVf (marg.), Reg.* οἱ σάβηροι *WvVf (marg.) L* 12. ὄρη *W*

a tutta la costruzione ad esse sovrapposta. I Romani però neppur così poteano salir sul muro, poichè i Persiani allorchè in gran numero venner colà con Mermeroe, facendo una considerevole aggiunta alla struttura esistente, avean di molto rialzato la cinta. I Romani quindi quando videro che la parte crollata del muro rimaneva in piedi intiera, esitavano e non sapeano che cosa farsi, poichè altra terra non poteano ormai più scavare, essendo così ingombrato il loro cunicolo, nè poteano servirsi dell' ariete, dacchè assaltavano il muro in luogo scosceso, e questa macchina non può essere tirata se non in luogo piano e di superficie eguale.

Per caso trovavansi in quell' esercito romano alcuni pochi barbari Sabiri, e ciò per la seguente ragione. I Sabiri sono una popolazione unna che abita presso il Caucaso, molto numerosa, ma ben suddivisa in molti principati. Taluni di questi principi sono da antico tempo in amicizia coll' imperatore dei Romani,

οἱ δὲ τῷ Περσῶν βασιλεῖ ἐκ παλαιοῦ γνώριμοι. τοῖν τε βασιλέοιν ἑκάτερος χρυσίον εἰώθει τακτὸν τοῖς αὑτοῦ ἐνσπόνδοις προΐεσθαι, οὐκ ἐπέτειον μέντοι, ἀλλ᾽ ἡνίκα ἂν ἐς τοῦτο αὐτὸν ἡ χρεία ἐνάγοι. τότε οὖν Ἰουστινιανὸς βασιλεὺς τῶν Σαβείρων τούς οἱ ἐπιτηδείους ἐς τὴν
B 510 ὁμαιχμίαν παρακαλῶν ἔστειλέ τινα τὸν τὰ χρήματα παρ᾽ αὐτοὺς κο- 5
μιοῦντα. ὁ δὲ (πολεμίων γὰρ μεταξὺ ὄντων, ἐς ὄρη τὰ Καυκάσια ἰέναι ξὺν τῷ ἀσφαλεῖ ἄλλως τε καὶ χρήματα ἐπαγόμενος οὐδαμῆ εἶχεν) ἀφικνεῖται μὲν παρά τε Βέσσαν καὶ τὸ Ῥωμαίων στρατόπεδον, ὅπερ ἐς τὴν Πέτρας πολιορκίαν καθίστατο, παρὰ δὲ τοὺς Σαβείρους πέμψας ἐκέλευσεν αὐτῶν τινας ὅτι τάχιστα τοὺς τὰ χρήματα ληψομένους παρ᾽ 10
αὐτὸν ἥκειν, οἵ τε βάρβαροι τρεῖς ἀπολεξάμενοι τῶν ἐν σφίσιν ἀρχόντων, ξὺν ὀλίγοις τισὶν ἐς Λαζικὴν εὐθὺς ἔπεμψαν· οἳ δὴ ἐνταῦθα γενόμενοι ξὺν τῷ Ῥωμαίων στρατῷ ἐς τήνδε τὴν τειχομαχίαν κατεστήσαντο. οὗτοι ἐπειδὴ Ῥωμαίους εἶδον ἀπογνόντας τε καὶ ἀπορουμένους

1. τὴν τε βασιλεῖ *D* βασιλοῖν *f (corr.)* 2. χρυσίου *W* προϊέσθαι *C mf (corr.)* 3. ἐπέτεινον *D* εἰς *L* τοῦτουτο *D* ἀνάγοι *f (marg.), Reg.* 4. σαβήρων *WvV* οἱ *om. D* 5. ὁμαχμίαν *D* 6. γὰρ *om. MCmf (agg. in marg.)* ὄρη *W* 8. μὲν οὖν *MCDmf* τε τὸν *WvVf (marg.) L* Βέσαν *H* στρατόπαιδον *W* 9. πέτραν *WL* σαβείρας *MCDmf (corr.)* σαβήρους *WvV (corr.) L* 11. αὐτῶν *D* 13-14. κατέστησαν *MCDmf (corr. in marg.), Reg., H (corr. in marg.)* κατεστήσατο *WvV* 14. οὗτοι] *WvVL* οὗτοι γὰρ *gli altri codd. e le edd.* ἴδον *M (corr. di m. rec.)* 14-1 *(p. 75)*. ἀπο-

altri col re di Persia; e così l' imperatore come il re soglion largire una determinata somma di danaro ai loro soci, non annualmente, ma quando il bisogno a ciò li spinga. Allora adunque Giustiniano imperatore invitando quei Sabiri ch' eran suoi amici ad andare in armi con lui, spedì un tale a portar loro il danaro. Costui, non potendo recarsi in sicurezza al Caucaso passando in mezzo ai nemici che trovavansi sulla sua via, tanto più latore com' era di denaro, dopo che ebbe raggiunto Bessa e l' esercito romano che stava all' assedio di Petra, spedì messi ai Sabiri invitandoli a mandar alcuni al più presto a ricevere da lui i danari. Ed i barbari, scelti tre dei loro principi con alcuni pochi, tosto li mandarono nella Lazica. Questi, giunti colà, si unirono all' esercito romano prendendo parte all' assalto delle mura; e vedendo che i Romani disperavano e non sapeano come cavarsene, costrui-

τὸ παρὸν θέσθαι, μηχανήν τινὰ ἐπετεχνήσαντο, οἵα οὔτε Περσῶν οὔτε Ῥωμαίων τινὶ, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, ἐς ἔννοιαν ἦλθε, καίτοι τεχνιτῶν μὲν πολὺς ὅμιλος ἐν ἑκατέρᾳ πολιτείᾳ γέγονέ τε ἀεὶ καὶ τανῦν ἐστιν. ἐς χρείαν δὲ πολλάκις ἐς τὸν πάντα αἰῶνα κατέστησαν τῆς
5 μηχανῆς ἑκάτεροι ταύτης, ἐς ἐρύματά γε τειχομαχοῦντες ἐν χωρίοις σκληροῖς καὶ δυσβάτοις τισὶ κείμενα· ἀλλ' αὐτῶν οὐδενὶ τὸ ἐνθύμημα τοῦτο γεγένηται, ὅπερ τούτοις δὴ τοῖς βαρβάροις τανῦν γέγονεν· οὕτως ἀεὶ προϊόντι τῷ χρόνῳ ξυννεωτερίζειν τῶν πραγμάτων τὰς ἐπινοίας φιλεῖ B 511
τῶν ἀνθρώπων ἡ φύσις. κριὸν γὰρ αὐτοσχεδιάζουσιν οἱ Σάβειροι οὗτοι,
10 οὐχ ᾗπερ εἰώθει, ἀλλὰ καινουργήσαντες ἑτέρῳ τῳ τρόπῳ. οὐ γὰρ δοκοὺς ἐς τὴν μηχανὴν ταύτην, οὐκ ὀρθὰς, οὐκ ἐγκαρσίας ἐμβέβληνται, ἀλλὰ ῥάβδους παχείας τινὰς ἐς ἀλλήλας ξυνδέοντες, καὶ αὐτὰς ἀντὶ τῶν δοκῶν πανταχόθι ἐναρμοσάμενοι, βύρσαις τε τὴν μηχανὴν καλύ-

γνόντας - μηχανὴν] *Wv Vf (marg.), Reg.* ἀπογνόντας ἐς τειχομαχίαν κατέστησαν ἑαυτούς. καὶ ῥωμαίων ἀπορουμένων καὶ μὴ ἐχόντων εὖ αὐτοῖς τὸ παρὸν θέσθαι, σάβειροι μηχανήν *gli altri codd. e le edd.* 1. ἐπετεχνήσατο *f (corr.)* οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 1-2. οὐδὲ ῥωμαίων οὐδὲ περσῶν *Wv V* 2. ἔνοιαν *D* 3. τεχνητῶν *MCmf, P* 4. ἐστιν *om. MCDmf (agg. in marg.)* 5. γε] τε *i codd. e le edd., soppr. Braun* 6. τὸν *per* τὸ *W* 7. ὅπερ] *WvVL* ὥσπερ *gli altri codd. e le edd.* δὴ *om. mf (agg. in marg.)* 8. ἀεὶ *om. D* συννεωτερίζειν *WvVL* 9. αὐτοσκεδιάζουσι *D* αὐτὸν σχεδιάζουσιν *WvV* σαβείρου *D* σάβηροι *WvVL* 10. ὥσπερ *MCDmf (corr. in marg.), P* τῷ *WvV* 12. τεινὰς *W*

rono una tal macchina quale mai a memoria d'uomo non era venuta in mente ad alcuno, nè persiano nè romano, quantunque nell'uno e nell'altro regno vi fosse e vi sia tuttora gran numero di artefici, e ben molte volte in ogni tempo sentisser bisogno di una macchina tale nel dar l'attacco a fortezze situate in luoghi aspri e di non facile accesso; pure niuno di essi potè escogitare ciò che questi barbari ora inventarono; ma è legge della natura umana che sempre col proceder del tempo vada progredendo con nuovi trovamenti. Infatti questi Sabiri improvvisarono un ariete non costruito nella comune maniera; poichè questa macchina essi non congegnarono con travi verticali e trasversali, ma legando assieme certe grosse verghe e combinandole in ogni lato in luogo delle travi, la macchina poi tutta ricoprendo di pelli,

ψαντες ὅλην τὸ τοῦ κριοῦ διεσώσαντο σχῆμα, μίαν δοκὸν μόνην, ᾗπερ εἴθισται, κατὰ μέσην τὴν μηχανὴν ἁλύσεσιν ἀναρτήσαντες χαλαραῖς τισιν, ἧσπερ τὸ ἄκρον ὀξὺ γεγενημένον καὶ σιδήρῳ περικαλυφθὲν ὥσπερ
P 594 βέλους ἀκὶς ἔμελλε συχνὰ κατὰ τοῦ περιβόλου ἐμβάλλεσθαι. οὕτω δὲ κούφην τὴν μηχανὴν ἀπειργάσαντο, ὥστε οὐκέτι αὐτὴν πρὸς ἀνδρῶν 5 τῶν ἔνδον ὄντων ἐφέλκεσθαι ἢ διωθεῖσθαι ἀναγκαῖον ἐγίνετο, ἀλλ' ἄνδρες τεσσαράκοντα, οἳ καὶ τὴν δοκὸν ἀνασύρειν τε καὶ κατὰ τοῦ περιβόλου ἐμβάλλεσθαι ἔμελλον, ἔνδον τῆς μηχανῆς ὄντες καὶ ὑπὸ τῶν
H 335 βυρσῶν καλυπτόμενοι ἔφερον τὸν κριὸν ἐπὶ τῶν ὤμων οὐδενὶ πόνῳ. τρεῖς μὲν οὖν οὗτοι οἱ βάρβαροι μηχανὰς τοιαύτας εἰργάσαντο, τὰς δοκοὺς 10 ξὺν τῷ σιδήρῳ ἐκ τῶν κριῶν ἀφελόμενοι, οὓς δὴ Ῥωμαῖοι ἐν παρασκευῇ ἔχοντες οὐχ οἷοί τε ἦσαν ἐς τὸ τεῖχος ἐφέλκειν· ὑποδύντες δὲ αὐτῶν ἑκάστην οὐχ ἧσσους ἢ κατὰ τεσσαράκοντα στρατιῶται Ῥωμαῖοι ἀριστίνδην ἀπολεχθέντες ὡς ἀγχοτάτω τοῦ τείχους ἔθεντο. ἑκατέρωθεν δὲ
B 512 μηχανῆς ἑκάστης ἕτεροι ἵσταντο, τεθωρακισμένοι τε καὶ κράνεσι τὰς 15

1. διεσώσατο *D* 2. ἀναρτύσαντες *Mmf (corr.)* ἀρτήσαντες *WvV* 3. τισὶν *v* ἧσπερ] *MCDIWvV* ᾗπερ *mf, le edd.* γεγενημένω *WvV* σιδήρῳ] *i codd.* σιδήρου *le edd.* 4. ἔμενε *D* 5. ἀπηργάσαντω *L (corr. in marg.)* 10. οὖν *om. WvV* οἱ *om. WvV* τοὺς *per* τὰς *MCDmf (corr.)* 11. ἃς *per* οὓς *D* ῥωμαῖον *W* 13–14. ἀριστείνδην *MCDmf, P* 14. ἀγχωτάτω *mf*

serbaronle la forma dell' ariete, solo una trave, come suol farsi, sospendendo nel mezzo di essa a catene mobili, la punta della quale aguzzata e foderata di ferro doveva con spessi colpi scagliarsi contro il muro come la cuspide di un dardo; e così leggera fecero questa macchina che non era neppur necessario ch' essa fosse tirata e spinta dagli uomini che v'eran dentro; ma i quaranta uomini ai quali incombeva tirar indietro la trave e scagliarla poi contro le mura, stando dentro la macchina coperti dalle pelli, assai facilmente portavano l' ariete sulle spalle. Questi tre barbari adunque costruirono queste cotali macchine togliendo le travi ferrate dagli arieti che i Romani teneano pronti senza essere in grado di tirarli alle mura. Entrati dentro a ciascuna ben quaranta soldati romani, scelti fra i più valenti, le appressarono alle mura. Da ambo le parti poi di ciascuna macchina stavano

κεφαλὰς ἐς τὸ ἀκριβὲς κεκαλυμμένοι καὶ κοντοὺς ἔχοντες, ὧνπερ τὰ ἄκρα σιδηρίοις ἀγκιστροειδέσιν ἐρήρειστο, τούτου δὴ παρεσκευασμένων αὐτοῖς ἕνεκα, ὅπως, ἐπειδὰν ἡ τοῦ κριοῦ ἐς τὸν περίβολον ἐμβολὴ ξυγχέῃ τὰς τῶν λίθων ἐπιβολάς, τούτοις δὴ τοῖς κοντοῖς περιαιρεῖν τε
5 τοὺς ξυγχεομένους τῶν λίθων καὶ ἀπορριπτεῖν δυνατοὶ εἶεν. Ῥωμαῖοι μὲν οὖν ἔργου εἴχοντο καὶ τὸ τεῖχος ἤδη συχναῖς ταῖς ἐμβολαῖς κατεσείετο, οἱ δὲ τῶν μηχανῶν ἐφ' ἑκάτερα ὄντες τοῖς ἀγκιστροειδέσι κοντοῖς τῶν λίθων τοὺς ξυνταρασσομένους ἀπὸ τῆς κατὰ τὴν οἰκοδομίαν ξυνθήκης ἐρρίπτουν, ἁλώσεσθαί τε ἡ πόλις αὐτίκα δὴ μάλα ἐπίδοξος ἦν.
10 οἱ δὲ Πέρσαι ἐπενόουν τάδε. ξύλινον πύργον, ὅσπερ αὐτοῖς ἐκ παλαιοῦ παρεσκεύαστο, καθύπερθεν τοῦ περιβόλου ἐτίθεντο, ἀνδρῶν ἔμπλεων τῶν ἐν σφίσι μαχιμωτάτων, ἥλοις τε σιδηροῖς καὶ θώραξι τάς τε κεφαλὰς καὶ τὸ ἄλλο σῶμα περιβαλλόντων. ἀγγεῖα δὲ θείου τε καὶ ἀσφάλτου ἐμπλησάμενοι καὶ φαρμάκου, ὅπερ Μῆδοι μὲν νάφθαν καλοῦσιν, Ἕλ- V 199

2. ἐρείρειτο *D* τοῦτον *WvV* τούτων *f (marg.), Reg.* παρασκευασμένον *Wv* παρεσκευασμένον *V* 3. ἤνεγκαν *per* ἕνεκα *W* ἤνεγκαν *vVL* 4. περιαιρεῖται *per* περιαιρεῖν τε *WvV* 5. ἀπορρίπτειν *WvVL* 8. ξυνταρασσομένη *(sic) Wv* τοῖς *per* τῆς *D* 9. ἐρίπτουν *D* 10. ἀντεπενόουν *van Herwerden* 11. ἔμπλεον *D* 12. τε *dopo* τάς *om. Dmf (agg. di sec. m.)* 13. περιβαλόντων *WvV* 13-1 *(p. 78). Le parole* ἀγγεῖα - ἔλαιον *riferisce Suida s. le vv.* νάφθα *e* φάρμακον

altri, muniti di corazza, col capo ben coperto da elmi e tenendo aste guarnite alla punta di uncini di ferro destinati a tal uso, che cioè quando la percossa dell'ariete contro il muro disfacesse la compagine delle pietre, con quelle aste potessero smuovere e toglier via le pietre sconquassate. I Romani adunque si misero all'opera e già il muro per le spesse percosse andava scrollandosi, e gli uomini d'ambe le parti delle macchine colle aste uncinate tiravan via dalla compagine della struttura le pietre spostate; e pareva che ormai tosto la città sarebbe presa. Ma i Persiani escogitarono questo espediente: collocarono sopra le mura una torre di legno che già da tempo teneano preparata, e la riempirono dei più forti loro guerrieri, con la testa e tutto il corpo ricoperti di corazze ed armature tutte guarnite di punte di ferro. Quindi empirono dei vasi di zolfo, di asfalto e di quel veleno che i Persiani chiamano nafta, i Greci olio di Medea, e datovi

ληνες δὲ Μηδείας ἔλαιον, πυρί τε ταῦτα ὑφάψαντες ἐπὶ τὰς μηχανὰς
τῶν κριῶν ἔβαλλον, ὥσπερ ὀλίγου ἐμπιπράναι πάσας ἐδέησεν. ἀλλ' οἱ
περὶ ταύτας, ὥσπερ μοι ἐρρήθη, ἑστῶτες, τοῖς κοντοῖς, ὧνπερ ἐπε-
μνήσθην ἀρτίως, ἐνδελεχέστατα περιαιροῦντες τὰ βαλλόμενα καὶ περι-
καθαίροντες, ἅπαντα ἐς τὸ ἔδαφος ἐκ τῶν μηχανῶν εὐθὺς ἐρρίπτουν. 5
B 513 οὐκ ἐπὶ πολὺ δὲ πρὸς τὸ ἔργον τοῦτο ἀνθέξειν ὑπώπτευον. τὸ γὰρ
πῦρ οὗ προσψαύσειεν ἐνεπίμπρα αὐτίκα, εἰ μὴ εὐθυωρὸν ἀποβληθείη.
ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.

Βέσσας δὲ αὐτὸς τεθωρακισμένος καὶ ἅπαν ἐξοπλίσας τὸ στράτευμα
κλίμακας πολλὰς ἐς τὸ πεπτωκὸς τοῦ τείχους προῆγε. καὶ λόγῳ το- 10
σαῦτα παραθαρρύνας, ὅσα μὴ ἀμβλῦναι τοῦ καιροῦ τὴν ἀκμὴν, ἔργοις
τῆς παρακελεύσεως τὸ λοιπὸν ἔνειμεν. ἀνὴρ γὰρ πλέον ἢ ἑβδομήκοντα
P 595 γεγονὼς ἔτη καὶ παντάπασιν ἔξωρος ὢν ἤδη πρῶτος ἐπέβη τῆς κλί-

1. ὑφ' ἄψαντες *mf (corr.)* 2. ἔβαλον *D* ἃς παρ' *L (corr.)* ὀλίγῳ *M CDmf (corr. in marg.), P* ἐμπιπρᾶναι *Dmf* πάσαις *D* 3. παρὰ ταῦτα *WvVL* 4. ἐνδελεχέστατε *WvV* 4-5. καὶ περικαθαίροντες τὰ βαλλόμενα *L* 5. ἐρρίπτου *D* 6. τοῦτον *D* ὑπόπτευον *D* 7. ἱ (*sic*) *per* οὗ *Wv* εἰ *per* οὗ *V* ἐνέπιπρα *D* ἐνεπρίμπρα *V* εὐθεωρὸν *W* 9. βέσας *MCDmf, H* ἄπασαν *W* 10. τοῦτο τοῦ *MCDmf, P* προσῆγε *L (σ soprascr.) van Herwerden* 10-11. τόσουτον *Wv* τοσοῦτον *Vf (marg.) L* 11. παραθαρσύνας *MCDmf (corr. in marg.), P* ὅσον *WvVL* ἀμβλύναι *MCm f (corr.)* ἀμβλῆναι *D* 12. τοῖς *per* τῆς *D* τὰ λοιπὰ *WvV, Reg.* ἔνειμε *MCDmf* ἔνημεν *WvV* 13. ἐτῶν *WvVf (marg.) L* ἔξορος *D*

fuoco li gittarono contro le macchine degli arieti, talchè poco
mancò che tutte fosser bruciate. Se non che gli uomini i quali,
come dissi, teneansi presso a queste colle aste da me testè ram-
mentate, assiduamente tirando via e spazzando quel che veniva
scagliato, tutto gittaron prestamente giù dalle macchine sul suolo;
nel qual lavoro invero non pensavano essi poter lungamente du-
rare, poichè il fuoco, dove toccasse, incendiava tosto se non fosse
all' istante rimosso. Tanto adunque avveniva colà.

Bessa in persona, coperto di corazza e colle truppe tutte in
armi, appressò molte scale alla parte del muro che era caduto,
e dopo aver rivolto brevi parole di esortazione per non lasciar
sfuggire il momento propizio, completò queste coll' opera; poichè
egli, uomo settantenne e già affatto fuori d' età, per primo salì

μακος. ἐνταῦθα μάχη καὶ ἀρετῆς ἐπίδειξις γίνεται Ῥωμαίοις τε καὶ
Πέρσαις οἵαν ἔγωγε κατὰ τοῦτον τὸν χρόνον οὐδαμῆ οἶμαι ξυνενεχθῆναι.
τὸ μὲν γὰρ βαρβάρων πλῆθος εἰς δισχιλίους καὶ τριακοσίους ξυνῄει,
Ῥωμαῖοι δὲ ἐς ἑξακισχιλίους ἐτύγχανον ὄντες. καὶ αὐτῶν ἑκατέρωθεν
5 ὅσοι οὐ διεφθάρησαν τραυματίαι σχεδόν τι γεγόνασιν ἅπαντες, ὀλίγοις
τε λίαν ἐπ' ἀθῴοις τοῖς σώμασι περιεῖναι ξυνέβη. Ῥωμαῖοι μὲν οὖν
τὴν ἀνάβασιν ἐβιάζοντο δυνάμει τῇ πάσῃ, Πέρσαι δὲ αὐτοὺς πόνῳ πολλῷ
ἀπεκρούοντο. ἀμφοτέρωθεν δὲ κτεινομένων πολλῶν οὐ μακράν που
ἐγένοντο τοῦ ἀπεῶσθαι τὸν κίνδυνον Πέρσαι. ὠθισμοῦ γὰρ πολλοῦ
10 ἐν τῇ τῶν κλιμάκων ὑπερβολῇ γεγενημένου ἄλλοι τε Ῥωμαίων συχνοί,
ἅτε πολεμίοις καθύπερθεν οὖσι μαχόμενοι, ἔθνησκον καὶ Βέσσας ὁ
στρατηγὸς ἐς τὸ ἔδαφος πεσὼν ἔκειτο. καὶ τότε δὴ κραυγῆς ἐξαισίας B 514
πρὸς ἀμφοτέρων γεγενημένης οἱ μὲν βάρβαροι πανταχόθεν ξυρρέοντες
ἐπ' αὐτὸν ἔβαλον, οἱ δὲ δορυφόροι ξυνέστησάν τε σπουδῇ ἀμφ' αὐτὸν

1. μέχρη *W* μέχρι *f (marg.) L* 2. ξυνηνεχθῆναι *W* 3. γὰρ *om. L* τὸ πλῆθος *WvV* ἐς *D* δυσχιλίους *MDWmf (corr.)* ξυνείη *WvV* 4. ἐξ *D* 5. γεγόνασι πάντες *WvVf (marg.) L* ὀλίγοις] *WvV* ὀλίγους *gli altri codd. e le edd.* 7. ἐβίαζον *Mmf (corr.)* 8. πολλῶ *in rasura M* 9. ἀπαιῶσθαι *W* 10. ὑπερβολὴ *D* 11. βέσας *MCDmf, H* 12. πεσὼν] *WvV f (marg.) L* ἐκ περσῶν *(sic) f* ἐκπεσὼν *gli altri codd. e le edd.* 13. ξυρέοντες *D*. 14. ἔβαλλον *L*

sulla scala; ed allora Romani e Persiani vennero a tal pugna ed a tal prova di prodezza quale a mio credere mai non si vide in questi tempi. Poichè il numero dei barbari ascendeva a duemila e trecento, quel dei Romani a seimila. E da ambe le parti quanti non rimasero uccisi furono quasi tutti feriti, e ben pochi ve ne fu che rimanessero illesi nella persona. I Romani adunque sforzavansi a tutta possa di salire, i Persiani a gran fatica li respingevano. Mentre da ambo le parti molti erano uccisi, i Persiani per poco non liberaronsi dal pericolo, poichè facendosi grande zuffa in cima alle scale, i Romani, nel combattere coi nemici che stavano di sopra, venivano uccisi in gran numero. E fra gli altri il capitano Bessa, caduto giù, rimase sul suolo; ed allora levatesi grida immani da ambe le parti, i barbari accorrendo d'ogni dove tiravano contro di lui, ma le sue lance spez-

καὶ κράνη μὲν ἐν ταῖς κεφαλαῖς ἔχοντες, θώρακας δὲ ἀμπεχόμενοι πάντες, ἔτι μέντοι καθύπερθεν ταῖς ἀσπίσι φραξάμενοι καὶ ἐν χρῷ ξυνιόντες ἀλλήλοις, ὀροφῆς αὐτῷ σχῆμα ἐποίουν καὶ τόν τε στρατηγὸν ὡς ἀσφαλέστατα ἔκρυψαν καὶ τὰ βαλλόμενα παντὶ σθένει ἀπεκρούοντο. καὶ πάταγος μὲν τῶν ἀεὶ πεμπομένων τε καὶ ταῖς ἀσπίσιν ἢ τοῖς ἄλ- 5 λοις ὅπλοις ἀποκαυλιζομένων βελῶν πολὺς ἐγεγόνει, κραυγῇ δὲ καὶ ἄσθματι καὶ ταλαιπωρίᾳ ἕκαστος εἴχετο. Ῥωμαῖοί τε ἅπαντες τῷ στρατηγῷ ἀμύνειν ἐν σπουδῇ ἔχοντες ἔβαλλον ἐς τὸ τεῖχος, οὐδένα ἀνιέντες καιρὸν, καὶ ταύτῃ τοὺς πολεμίους ἀνέστελλον. τότε δὴ ὁ Βέσσας (οὐδὲ γὰρ ἐξανίστασθαι εἶχε, τῆς ὁπλίσεως ἀντιστατούσης, 10 ἄλλως τε καὶ τοῦ σώματός οἱ οὐκ εὐσταλοῦς ὄντος, ἦν γὰρ οὗτος ἀνὴρ εὔσαρκός τε καὶ, ὅπερ ἐρρήθη, ἐσχατογέρων) οὐκ ἐς ἀμηχανίαν ἐξέπεσε, καίπερ ἐς τοσοῦτον κινδύνου ἥκων, ἀλλὰ βουλεύεταί τι ἐκ τοῦ αἰφνιδίου,

1. ἐν *om. MCDmf (agg. in marg.)* ἐπὶ *per* ἐν *van Herwerden* θώρακαν *(sic) W* θώρακα *L* 2. καθύπερ *D* 3. ξυνιέντες *WvV* αὐτὸ *W* τε καὶ τὸν *f (marg.), H (id.)* 5. πάτταγος *MCDmf (corr.)* τε *om. WvV* κἂν *MCDmf (corr. in marg.)* κὰν *WvVL, H* ἀσπίσι τε καὶ τοῖς *WvV* 6. βελῶν *om. WvV* κραυγὴ *D* 7. ἀσθμᾶσι *D* ταλαιπορία *D* 8. ἔβαλειν *(sic) D* ἔβαλον *WvVL* 9. καὶ *om. WvVL; in parent. f* 10. βέσας *MCDmf, H* εἶχεν *MDmf* 11. ἄλλους *f (corr.)* οἱ *om. D* ἐσταλεὶς (ἐνστα) *D* 12. περ *per* ὅπερ *D* ὅσπερ *f (corr.)* μηχανίαν *D*

zate corsero ad attorniarlo e muniti com' eran tutti d' elmo e di corazza, levati in alto gli scudi e tenendosi stretti l' uno all' altro fecergli una specie di tetto, tenendo il capitano coperto ed al sicuro ed a tutta possa difendendolo dai colpi. Grande era il fragore dei dardi continuamente scagliati che andavano a frangersi contro gli scudi e le altre armi, ed ognuno era stordito dalle grida e dall' affannoso travaglio. I Romani tutti, premurosi di difendere il capitano, senza posa tiravano contro le mura, e così tenevano indietro i nemici. Allora Bessa, il quale non poteva levarsi pel peso dell' armatura e per la poca agilità della sua persona, poichè era piuttosto pingue e, come abbian detto, d' inoltrata vecchiezza, non si perdè d' animo, quantunque si trovasse in tanto periglio, ma lì per lì ebbe un pensiero che salvò lui e le cose

ᾧπερ αὐτόν τε καὶ τὰ Ῥωμαίων πράγματα διασώσασθαι ἔσχεν. τοῖς γὰρ δορυφόροις ἐπέστελλε σύρειν τε αὐτὸν ἐκ ποδὸς καὶ ὡς ἀπωτάτω τοῦ τείχους ἐφέλκειν. οἱ δὲ κατὰ ταῦτα ἐποίουν. καὶ αὐτὸν οἱ μὲν ἔσυρον, οἱ δὲ ξὺν αὐτῷ ὑπεχώρουν, τὰς μὲν ἀσπίδας ὕπερθεν ἐπ' ἀλ-
5 λήλους ἔχοντες, τοσαύτην δὲ ποιούμενοι βάδισιν, ὅσον ἐκεῖνος ἐσύρετο, ὡς μὴ ἀπαρακάλυπτος γεγονὼς πρὸς τῶν πολεμίων βληθείη. ἐπειδὴ δὲ ὁ Βέσσας ἐν τῷ ἀσφαλεῖ ἐγεγόνει, ἐξανίστατό τε καὶ παρακελευσάμενος ἐπὶ τὸ τεῖχος ᾔει, τῆς τε κλίμακος ἐπιβατεύσας αὖθις ἐπὶ τὴν ἀνάβασιν ὥρμητο. ἐπισπόμενοι δὲ Ῥωμαῖοι ἅπαντες ἔργα ἐς τοὺς πο-
10 λεμίους ἐπεδείκνυντο ἀρετῆς ἄξια. περίφοβοί τε γενόμενοι Πέρσαι καιρὸν σφίσι τινὰ τοὺς ἐναντίους διδόναι ᾔτουν, ὅπως ξυσκευασάμενοι ἀπαλλάσσωνται τὴν πόλιν ἐνδόντες. Βέσσας δὲ δολώσεις αὐτοὺς ἐπιτεχνᾶσθαι ὑποτοπάζων, ὅπως μεταξὺ κρατύνωνται τὸ τοῦ περιβόλου ὀχύρωμα, τὴν μὲν ξυμβολὴν καταπαύειν ἔφη οὐχ οἷός τε εἶναι, τοὺς

H 336 B 515 P 596 V 200

1. ὥσπερ *f (corr.)* ὅπερ *WvVf (marg), Reg.* αὐτὸν *MCDWvVmf* διασῶσασθαι ἔσχε *WvV* 2. ἐπέστελε *D* ἐπέτελλε *WvV* σύρρειν *MCD* αὐτῶν *L* ἀποτάτω *DWv* 3. ἀφέλκειν *van Herwerden* 3-4. οἱ δὲ αὐτὸν μὲν ἔσυρον. καὶ αὐτοὶ δὲ ξὺν αὐτῳ κτλ. *MCD* (αὐτοῦ μὲν) *mf (corr. in marg.)* 4. καὶ αὐτοὶ *per* οἱ *H* αὐτῶν *WvV* 5. βάδυσιν *D* 7. δὲ *om. D* βέσας *MCDmf, H* 9. πάντες *WvVf (marg.), H (id.)* 11. συσκευασάμ. *WvVL* 12. ἀπαλλάσσονται *DWvV* βέσας *MCDmf, H* τὲ *per* δὲ *WvVL* δειλώσεις *D* 12-13. ὑποτεχνᾶσθαι *MCDmf, H* ἐπιτεχνάσασθαι *WvVf (marg.), Reg.*

dei Romani. Diede ordine alle lance spezzate di tirarlo via, recandolo lungi dalle mura; e quelli ciò eseguirono. Parte di essi lo portava via, parte procedeva insiem con lui tenendo su di esso sollevati ed approssimati fra loro gli scudi, andando dello stesso passo con quei che lo portavano affinchè non rimanesse scoperto e colpito dai nemici. Giunto che fu al sicuro Bessa si levò su, e dato il comando corse alle mura e posto il piede sulla scala di nuovo intraprese la salita. I Romani tutti lo seguirono ed operarono prodezze contro i nemici. I Persiani atterriti pregarono i nemici che concedessero loro il tempo di far bagaglio ed andarsene cedendo loro la città. Bessa però sospettando che questo fosse un loro ingannevole sotterfugio per potere nell' intervallo rafforzare le mura, rispose non esser egli in grado di far cessare

δὲ ἀμφὶ τῇ ὁμολογίᾳ βουλομένους αὐτῷ ξυγγενέσθαι, τῶν στρατοπέδων μαχομένων, οὐδέν τι ἧσσον εἰς ἑτέραν τινὰ ξὺν αὐτῷ ἰέναι τοῦ τείχους μοῖραν, δείξας τὸ χωρίον αὐτοῖς. τῶν δὲ οὐκ ἐνδεχομένων τὸν λόγον γίνεται μὲν αὖθις καρτερά τις μάχη καὶ ὠθισμὸς πολύς, ἔτι δὲ ἀγχωμάλου τῆς ξυμβολῆς οὔσης ξυνηνέχθη τὸ τεῖχος ἑτέρωθι, οὗπερ δὴ ὀρύξαντες Ῥωμαῖοι πρότερον ἔτυχον, ἐξαπιναίως καταπεσεῖν. ἐνταῦθα οὖν πολλοὶ ἐξ ἀμφοτέρων ξυνέρρεον. καὶ Ῥωμαῖοι μὲν πλήθει τοὺς πολεμίους παρὰ πολὺ ὑπεραίροντες, καίπερ δίχα διῃρημένοι, πολλῷ ἔτι μᾶλλον βάλλοντές τε καὶ ὠθοῦντες καρτερώτατα τοῖς ἐναντίοις ἐνέκειντο. Πέρσαι δὲ οὐκέτι ὁμοίως ἀντεῖχον, ἑκατέρωθι βιαζόμενοι, ἀλλὰ διαιρεθεῖσα ἡ ὀλιγανθρωπία ἐς ἄμφω τὰ μέρη διαφανὴς ἦν. οὕτω δὲ πονουμένων ἀμφοτέρων ἔτι τῶν στρατευμάτων καὶ οὔτε Περσῶν ἀποκρούεσθαι δυναμένων ἐγκειμένους σφίσι τοὺς πολεμίους οὔτε Ῥωμαίων

(5) (10) (B 516)

1. ξυμβαλλομένους *D* αὐτοῖς *M, H* 2. τινὰ ξὺν *om. D* αὐτοῖς *MCDmf (corr. in marg.)* 3. τὶ χωρίον *come I, 190, r. 6, Braun* 4. ἡ *per* τις *MCDmf (corr. in marg.), H* ὠθησμὸς *MCmf* 4-5. ἀγχομάχου *IVf (marg.), Reg.* 5. ξυμβουλῆς *IV* 5-6. δὴ ὀρύξαντες] *IVvVL* διώραντες (ρήσαντες) *D* διορύξαντες *gli altri codd. e le edd.* 8. δηηρημένοι *IVv* 9. βάλλωντές *D* τὲ καὶ ὠθ. *ripete D* 10-11. διαιρεθῆσα *IV* 11-12. ποιουμένων *MCDmf (corr. in marg.), H* 12-13. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 13. ἐγκειμένων - τῶν πολεμίων *IVvVL*

l' assalto, che però coloro che volesser trattare con lui per un accordo potrebbero egualmente, mentre gli eserciti combattevano, trovarsi seco in un' altra parte delle mura ch' ei loro indicava. Coloro questa proposta non accettarono, e di nuovo ricominciò aspra la pugna e un grande azzuffarsi. Durava tuttavia indeciso il conflitto quando l' altra parte del muro sotto la quale già prima i Romani aveano scavato, subitamente precipitò. Da ambo le parti quindi molti accorsero colà ed i Romani, molto superiori di numero ai nemici, quantunque divisi in due parti, sempre più tirando e spingendosi innanzi, incalzavano con gran forza gli avversari. I Persiani, poi, stretti di qua e di là, non più come prima resistevano, ma l' esser essi divisi fra le due parti rendeva più sensibile la scarsezza del loro numero. Mentre l' uno e l' altro esercito così affaticavasi nè i Persiani riuscivano a respingere i

βιάζεσϑαι παντάπασι τὴν εἴσοδον οἵων τε ὄντων, νεανίας ἀνήρ, Ἀρ-
μένιος γένος, Ἰωάννης ὄνομα, Θωμᾶ υἱός, ὅνπερ ἐπίκλησιν ἐκάλουν
Γούζην. τὰ μὲν καταπεπτωκότα τοῦ περιβόλου καὶ τοὺς ἐνταῦϑα
ὠϑισμοὺς εἴασεν, Ἀρμενίων δὲ τῶν οἱ ἑπομένων ἐπαγαγόμενος ὀλίγους
5 τινὰς διὰ τοῦ κρημνώδους, ᾗπερ ἅπαντες τὴν πόλιν ἀνάλωτον εἶναι
ὑπώπτευον, βιασάμενος ἀνέβη τοὺς ταύτῃ φρουρούς. κατά τε τὰς
ἐπάλξεις γενόμενος ἕνα Περσῶν τῶν τῇδε ἀμυνομένων, ὅσπερ μαχιμώ-
τατος ἐδόκει εἶναι, δόρατι ἔκτεινεν. ἐσβατά τε Ῥωμαίοις ξυνηνέχϑη
τὰ τῇδε.

10 Πέρσαι δέ, οἳ ἐν πύργῳ τῷ ξυλίνῳ εἱστήκεσαν, μέγα τι χρῆμα τῶν
πυρφόρων ἀγγείων ὑφῆψαν, ὅπως τῶν βαλλομένων τῷ περιόντι κατα-
φλέξαι αὐτοῖς ἀνδράσι τὰς μηχανὰς οἷοί τε ὦσιν, οὐ δυναμένων τῶν
ἀμυνομένων ἅπαντα τοῖς κοντοῖς διωϑεῖσϑαι. πνεῦμα δὲ νότου σκληρόν
τε καὶ ὑπερφυὲς ἄγαν ἐξαπιναίως ἐξ ἐναντίας αὐτοῖς ξὺν πολλῷ πατάγῳ

3. γορβύζην *MCDmf (corr. in marg.), H (id.)* 4. ὠϑησμοὺς *MCmf (corr.)* ἐπαγόμενος *MCDmf (corr. in marg.), P* 5. οὗπερ *MCDmf (corr. in marg.), P* 6. ὑπόπτευον *DW* 7-8. μαχυμώτατος *W* 8. ἔκτινεν *Wv* ἐσβατόν *Wv Vf (marg.), Reg.* 9. τρόπῳ τοιῷδε *per* τὰ τῇδε *Wv Vf (marg.), Reg.* 10. δὲ *om. Wv V* ἑστήκεσαν *Wv V* 12. αὐτοὺς *V (corr.)* 13. τοῖν κοντοῖν *f (corr. in marg.)* διαϑεῖσϑαι *Wv V* 14. παττάγω *MCDmf (corr.)*

nemici che li incalzavano, nè i Romani a sforzare totalmente l' ingresso, un giovanotto armeno, di nome Giovanni, figlio di Tommaso, soprannomato Guze, lasciata lì la parte caduta del muro ed il conflitto che vi avea luogo, prese seco alcuni pochi degli Armeni ch' ei comandava e con quelli salì a quella parte a monte di dove tutti pensavano che la città non potea prendersi, e ne attaccò il presidio; e giunto sui merli, colla lancia uccise uno dei difensori persiani che pareva fortissimo guerriero, talchè quel-l' accesso fu aperto ai Romani.

Intanto i Persiani che stavano nella torre di legno accesero un gran numero di vasi incendiarî, onde potere colla quantità grande di siffatti proiettili bruciare insieme cogli uomini le macchine, non potendo quelli esser tutti rimossi colle aste da coloro che le difendevano; quando improvvisamente un forte ed impetuoso vento di mezzodì levatosi con gran strepito contro di loro,

ἐπιπεσὼν, τῶν τοῦ πύργου σανίδων ἀμηγέπη μιᾶς ἥψατο. οὐ ξυνιέντων
δὲ αὐτίκα τῶν ἐνταῦθα Περσῶν (πόνῳ γὰρ καὶ θορύβῳ καὶ δέει καὶ
B 517 ταραχῇ ἀμέτρῳ εἴχοντο ἅπαντες, ἥ τε ἀνάγκη αὐτοῖς παρῃρεῖτο τὴν
αἴσθησιν) ἡ φλὸξ κατὰ βραχὺ αἰρομένη τῷ τε τῆς Μηδείας ἐπωνύμῳ
ἐλαίῳ καὶ οἷσπερ ἄλλοις ἐξήρτυτο τὸν πύργον ὅλον καὶ Πέρσας τοὺς 5
ἐνταῦθα ἐνέπρησεν. ἐξηνθρακωμένοι τε ἅπαντες ἔπεσον, οἱ μὲν ἐντὸς
τοῦ περιβόλου, οἱ δέ που ἐκτὸς, ἵνα δὴ αἵ τε μηχαναὶ καὶ οἱ ἀμφ᾽ αὐτὰς
P 597 Ῥωμαῖοι εἱστήκεσαν· οὕτω δὲ καὶ οἱ ἄλλοι Ῥωμαῖοι, ὅσοι δὴ ἐς τοῦ
περιβόλου τὰ καταπεπτωκότα ἐμάχοντο, ἐνδιδόντων σφίσι τῶν πολεμίων
ἔς τε ὀλιγωρίαν ἐμπεπτωκότων, ἐντὸς τοῦ περιβόλου ἐγένοντο, καὶ κατ᾽ 10
ἄκρας ἡ Πέτρα ἑάλω. τῶν μὲν οὖν Περσῶν ἐς πεντακοσίους ἐς τὴν
ἀκρόπολιν ἀναδραμόντες καὶ τὸ ἐκείνῃ καταλαβόντες ὀχύρωμα ἡσυχῇ
ἔμενον, τοὺς δὲ ἄλλους Ῥωμαῖοι, ὅσους οὐκ ἔκτειναν ἐν τῇ ξυμβολῇ,
ἐζώγρησαν ἅπαντας ἐς τριάκοντα καὶ ἑπτακοσίους μάλιστα ὄντας. καὶ

3. παρητεῖτο *MCDmf (corr. in marg.), H* 5. ἐξήρτυτο] *WvVL, B* ἐξηρτύετο *gli altri codd. (f corr. in marg.), HP* 6-7. *Le parole* ἐνέπρησεν - ἐντὸς τοῦ *om. W* 6. ἐξηρθρασκώμενοι *(sic) v* 7. τούτου *per* που *WvVf (marg.), Reg.* 8. ἑστήκεσαν *MCDmf (corr.)* ἐκ *per* ἐς *f (corr. in marg.), H* 9. τὰ *om. WvVL; in parent. f* 11. εἵλω *W* εἷλω *vV* 13. ἔκτηναν *W* 14. τριακοσίους *MCDmf (corr.)*

appiccò il fuoco ad uno degli assi della torre. I Persiani ciò non avvertirono, poichè la fatica, il tumulto, lo spavento, l' immenso turbamento tutti li stringeva e l' angustia toglieva loro il sentimento. E poco a poco la fiamma, levandosi per quell' olio che chiamasi di Medea e per le altre cose che la alimentavano, bruciò tutta la torre ed i Persiani che ivi si trovavano. I quali cadder tutti carbonizzati, quali nell' interno delle mura, quali al di fuori ove trovavansi le macchine e i Romani che le attorniavano. Così anche gli altri Romani che battevansi alla parte crollata del muro, avendo i nemici, prostrati di animo, ad essi ceduto, penetrarono per le mura; e Petra fu così tutta presa. Cinquecento Persiani ritiratisi di corsa sull' acropoli ed occupatone il forte, colà rimasero; gli altri, quanti non furono uccisi nella pugna, furon tutti presi vivi dai Romani in numero di settecentotrenta al massimo. Di questi, diciotto trovarono illesi, tutti gli

αὐτῶν ὀκτὼ μὲν καὶ δέκα ἀκραιφνεῖς εὗρον, οἱ δὲ λοιποὶ ἅπαντες τραυματίαι ὄντες ἐτύγχανον. ἔπεσον δὲ καὶ Ῥωμαίων πολλοί τε καὶ ἄριστοι, καὶ Ἰωάννης ὁ Θωμᾶ υἱός, λίθῳ τὴν κεφαλὴν ἐν τῇ ἐς τὴν πόλιν εἰσόδῳ πρός του τῶν βαρβάρων βληθεὶς ἔργα τε θαυμαστὰ ἐς τοὺς πολεμίους
5 ἐπιδειξάμενος.

ιβ'. Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ οἱ Ῥωμαῖοι τῶν βαρβάρων τοὺς V 201 τὴν ἀκρόπολιν καταλαβόντας πολιορκοῦντες λόγους προὔφερον, τήν τε σωτηρίαν αὐτοῖς προτεινόμενοι καὶ τὰ πιστὰ δώσειν ὑπὲρ τούτων ὁμολογοῦντες, ταύτῃ Πέρσας καραδοκοῦντες σφᾶς αὐτοὺς ἐγχειριεῖν σφίσιν.
10 οἱ δὲ αὐτῶν οὐκ ἐνδεχόμενοι τοὺς λόγους ἐς ἀντίστασιν εἶδον, καίπερ B 518 οὐκ ἐπὶ πολὺ ἀνθέξειν τῇ ταλαιπωρίᾳ οἰόμενοι, ἀλλὰ δι' ἀρετὴν θανατῶντες. Βέσσας δὲ αὐτοὺς ἀποστῆσαι τῆς γνώμης ἐθέλων ἀντικαταστῆσαί τε ἐς τὴν τῆς σωτηρίας ἐπιθυμίαν, τῶν τινα Ῥωμαίων στρατιωτῶν ὡς πλησιαίτατα αὐτοῖς διιέναι κελεύει, παραίνεσίν τέ τινα ἐς

1. ἀκρεφνεῖς *W* 2. ἐπώσον *D* ῥωμαῖοι *W v V f (marg.), Reg.* 3. Θωμᾶς *D* 6. ἡμέρᾳ *om. MCDmf (agg. in marg.)* οἱ *om. WvVL* 7. ἐς τὴν ἀκρ. καταλιπόντας *W v V f (marg.), Reg.* προσέφερον *van Herwerden* 9. σφίσι *D* 11. ἔτι πω ἀνθ. *f (marg.), Reg.* 12. βέσας *MCDmf, H* ἀποστῆναι *WL* 12-13. ἀντί καταστήσεται ἐς *W* 14. πλησιέστατα *L* διένας *D* ἴεναι *(sic) W* ἴεναι *v* ἰέναι *VL*

altri erano feriti. Anche dei Romani però ben molti perirono e dei più valenti, fra gli altri Giovanni, figlio di Tommaso, colpito da un de' barbari con una pietra alla testa all' entrare in città, dopo avere operato mirabili prodezze contro i nemici.

XII. Il giorno seguente i Romani postisi ad assediare i barbari che aveano occupato l' acropoli, fecero ad essi proposte offrendo loro la incolumità e promettendo d' impegnarsi a ciò con patto solenne; ed aspettavano con questo che coloro si sarebbero arresi. Ma quelli non accettarono e proponevansi di tener fronte, quantunque non pensassero di poter a lungo resistere al travaglio, ma bramassero morire da valorosi. Bessa però, nell' intento di farli recedere da tal proposito e di richiamarli all' amore di loro salvezza, ordinò ad uno dei soldati romani di

τοὺς ἀνθρώπους ποιήσασθαι, δηλώσας ὅσα δὴ ἐς αὐτοὺς εἰπεῖν βούλοιτο.
H 337 καὶ ὃς ἀγχοτάτω γενόμενος ἔλεξε τοιάδε « Τί πεπονθότες ἐφ' ὑμῖν αὐτοῖς,
« ὦ βέλτιστοι Πέρσαι, τὸν ὄλεθρον διατείνεσθε τοῦτον, ἐπιτηδεύοντες τὰ
« θανάσιμα σπουδῇ ἀλογίστῳ καὶ τῆς ἀρετῆς τὰ ἐπιτηδεύματα διαφανῶς
« ἀτιμάζοντες; οὐ γάρ ἐστιν ἀνδρεῖον τὸ τοῖς ἀμηχάνοις ἀντιστατεῖν, οὐδὲ 5
« ξυνετὸν τὸ μὴ βούλεσθαι τοῖς κεκρατηκόσιν ὑπείκειν· οὐδὲ μὴν ἄδοξον
« τὸ τύχῃ τῇ παρούσῃ ἑπομένους βιῶναι. ἀνάγκη γὰρ οὐδὲ ἀγαθῆς τινος
« ἐλπίδος τυχοῦσα τὴν ἀτιμίαν ἐκφεύγει δικαίως, ἣν καὶ τῶν ἔργων ἐπι-
« βάληται τὰ αἰσχρότατα. κακῷ γὰρ τῷ ἀμηχάνῳ τὸ σύγγνωμον ἕπεσθαι
P 598 « πέφυκε. μὴ τοίνυν τὴν ἀπόνοιαν ἐν προὔπτῳ ζηλοῦτε κινδύνῳ, μηδὲ 10
« τῆς σωτηρίας τὴν ἀλαζονείαν ἀλλάξησθε, ἀλλ' ἐνθυμεῖσθε ὡς ἀναβιώ-
« σεσθαι μὲν τοὺς τετελευτηκότας ἀδύνατον, οἱ δὲ περιόντες καὶ χρόνῳ
« διαχρήσονται σφᾶς αὐτοὺς ὕστερον, ἤν γε τοῦτο κρεῖσσον εἶναι δοκῇ.

1. ποιησάμενοι *D* 2. κἂν *f (corr.)* ὡς *WL* ἀγχωτάτω *f* 3. δια-τείνεσθαι *WvV* τούτων *W (corr.)* 5. ἀνδρείων *WvVL* 6. ξυνετῶν *WvVL* μοὶ *per* μὴν *D* 7. ἑπομένοις *L* 8. στοιχοῦσα *WvV* 8–9. περιβάλ-ληται *W (in rasura) vVf (marg.), Reg.* 9. αἰσχότατα *W* 10. πέφυκεν *D* πέφηκε *Wv* ζηλοῦν τε *W* 11. τὴν σωτηρίαν *D* ἀλλάξησθε] *i codd., H* ἀλλάξασθε *PB* 11-12. ἀναβιώσεσθε *D* 12. περιιόντες *D* 13. διαχρή-σονται] *WvV* διαθήσονται *gli altri codd. e le edd.* δοκεῖ *WvV*

farsi loro dappresso e di rivolger loro una esortazione, indicandogli quel che dovesse dire; e colui ad essi appressatosi parlò loro così: « Qual pazzia è la vostra, o bravi Persiani, che volete « esporvi a tale ruina apprestandovi con inconsulto zelo la morte « ed apertamente spregiando i sani principî del valore? Poichè « non è da valorosi il cozzare coll' inevitabile, nè da assennati il « non voler cedere ai vincitori. Nè poi è inglorioso il vivere « adattandosi alla sorte qual' essa è, poichè la necessità sprovvista « di ogni buona speranza giustamente sfugge al disonore quand' anche si sottoponga alle più indegne cose; dacchè il male « inevitabile ha sempre l' indulgenza per sè. Ordunque non vogliate nel pronto periglio farvi un punto d' onore dell' insensatezza, nè alla vostra salute preporre un vano orgoglio; pensate che chi è morto non può rivivere, ma chi riman vivo è in « tempo ad uccidersi poi, se ciò gli paia meglio convenire. Pren-

« βουλεύσασθε οὖν τὴν ὑστάτην βουλὴν καὶ περισκοπεῖσθε τὰ ξύμφορα,
« ἐκεῖνο εἰδότες, ὡς ταῦτα ἂν τῶν βουλευμάτων τὰ βέλτιστα εἴη ἐν οἷς τὸ B 519
« μεταμέλειν τοῖς βουλευσαμένοις ἐν ἐξουσίᾳ ἔσται. ὡς ἡμεῖς γε ὑμᾶς
« καὶ ζυγομαχοῦντας οἰκτείρομεν καὶ θανατώντων φειδόμεθα καὶ πρὸς
5 « τὸν βίον ἐνδιαθρυπτομένους τε καὶ βλακεύοντας ἐλεεῖν ἀξιοῦμεν, ᾗ
« Ῥωμαίοις Χριστιανοῖς νόμος. ἄλλο τε ὑμῖν περιοῦσι προσέσται οὐδὲν,
« πλήν γε δὴ ὅτι τὴν πολιτείαν ἐπὶ τὰ βελτίω μεταβαλόντες Ἰουστινιανὸν
« ἀντὶ Χοσρόου κύριον ἕξετε · ὑπὲρ γὰρ τούτων ὑμῖν καὶ τὰ πιστὰ δώσειν
« ὁμολογοῦμεν. μὴ τοίνυν ὑμᾶς αὐτοὺς διαχρήσησθε, παρὸν σώζεσθαι.
10 « οὐ γὰρ εὐτυχὲς ἐμφιλοχωρεῖν τοῖς δεινοῖς ἐπ' οὐδεμιᾷ τὸ παράπαν ὀνήσει,
« ἐπεὶ οὐκ ἀνδραγαθίζεσθαι, ἀλλὰ θανατᾶν τοῦτό γε. γενναῖος δὲ ὃς
« ἂν ἐγκαρτερῇ τὰ δεινότατα, ἡνίκα τι προσδοκᾷ ἀπ' αὐτοῦ χρήσιμον.

1. βουλεύσασθαι *D* 2. ἰδόντες *WvV* εἰδόντες *L* 3. μεταμέλλειν *W* τοῖς βουλευσ. *om. MCDmf (agg. in marg.)* γε ὑμᾶς] *WvVL* ὑμᾶς γε *gli altri codd. e le edd.* 5. ὡς *per* ᾗ *MCDmf (corr. in marg.), P* 6. περιοῦσι *om. WvV, Reg.* περιέσται *WvVf (marg.)* 7. μεταβαλλόντες *MCm* μεταλαβόντας *W* 8. ἕξωτε *D* δώσιν *Wv (corr.)* 9. αὐτοὶ *MCDmf (corr. in marg.)* διαχρήσησθε] *WvV, B* διαχρήσεσθε *MCmf (corr. in marg.), HP* διαχρήσεσθαι *D* διαχρήσησθαι *L* διαχρήσασθε *P* 10. τυχὸν *f (corr. in marg.), H* τοπαράπαν *MCmf* 11. θανατοῦν *MCDmf, P* 12. δυνότατα *C* δηνατώτατα *D* προσδοκᾶν *WvV*

« dete adunque il supremo divisamento e riflettete all' utile vo-
« stro, tenendo in mente esser fra tutti il miglior partito quello
« che a chi lo abbraccia permette di ricredersi. Così noi vi usiam
« compassione quantunque ricalcitriate, e vi risparmiamo mentre
« volete morire, e vogliamo essere misericordiosi, come è usanza
« de' Romani Cristiani, verso di voi che della vita volete fare sciupo
« e scialacquo. Che se voi sopravviviate, niente altro vi sovrasta
« se non il passare a governo migliore, ad aver per signore piut-
« tosto Giustiniano che Chosroe; cosa questa per la quale vi pro-
« mettiamo d' impegnarci con voi con patto solenne. Ordunque
« non vogliate perdervi da voi stessi, mentre potete salvarvi;
« poichè non è bello ostinarsi senza alcun frutto nelle avversità;
« chè ciò non è voler esser prodi, ma solo voler morire. Colui è
« bensì coraggioso che sa sopportar le sventure quando da ciò

« οὐ γὰρ ἐπαινοῦσι τὴν ἑκούσιον τελευτὴν ἄνθρωποι, ἔνθα δή τις ἐπίκειται
« κρείσσων τῷ κατ' αὐτὴν κινδύνῳ ἐλπίς, ἀλλὰ βίαιος μὲν καταστροφὴ
« ἄχρηστος καὶ ἄνοια προπετής, τὸ δὲ εἰς θάνατον θράσος ἀνόητον τοῦ
« δραστηρίου πρόσχημα οὐκ εὐπρεπὲς τοῖς γε σώφροσιν εἶναι δοκεῖ.
« καίτοι καὶ τοῦτο ἐκλογίζεσθαι χρή, μή τι δόξητε καὶ εἰς τὸ θεῖον 5
« ἀγνωμονεῖν. εἰ γὰρ ἀπολεῖν ἐβούλετο, ὦ ἄνδρες, ὑμᾶς οὐκ ἄν, οἶμαι,
« παραδεδώκει τοῖς διασώζειν ἐφιεμένοις. τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτά
B 520 « ἐστι. βουλεύσεσθε δὲ ὑμεῖς δηλονότι, ἄνπερ ζῆν ἀξίοις ὑμῖν ξυμβαίνῃ
« εἶναι ».

Ἡ μὲν παραίνεσις ταύτῃ πῃ εἶχε. Πέρσαι δὲ τοὺς λόγους οὐδὲ 10
ὅσον ἀκοῇ δέχεσθαι ἤθελον, ἀλλ' ἐθελοκωφοῦντες ὅτι δὴ οὐκ ἐπαΐοιεν
V 202 προσεποιοῦντο. καὶ τότε, τοῦ στρατηγοῦ ἐγκελευσαμένου, Ῥωμαίοις

1. δή *om. MCDmf (agg. di sec. m.)* 2. κατὰ ταύτην *MCmf (corr. in marg.), P* κατὰ ταῦτα *D* βίου *WvVf (marg.), Reg.* 3. καὶ *om. WvVL* ἀνόητον θράσος *WvVL* 4. γε *om. MCDmf (agg. in marg.)* 5. καίτι *W* δόξη τὲ *D* δόξηται *W* 6. ἀγνομονεῖν *MCDmf* ἀπολεῖν] *f (marg.), H (id.) PB* ἀπόλλειν *i codd., H* ἀπολλύειν *van Herwerden* 7. παραδεδόκει *Cmf* μὲν οὖν *om. WvVL* 8. βουλεύσησθε *MCDmf, H* βουλεύσοισθε *Vf (marg.)* βουλεύσεσθαι *Reg.* βουλεύσασθε *P* ἡμεῖς *D* ὧνπερ *WvVf (marg.), Reg.* ζῆν *om. WvV, Reg.* ξυμβαίνει *DWvVf (marg.) L* 12. Ῥωμαίοις] *L f (marg.)* ῥωμαῖοι *gli altri codd. e le edd.*

« aspetti alcun frutto; ed invero gli uomini non sogliono lodare
« la morte volontaria, quando una qualche speranza vi sia di su-
« perare il periglio per cui quella s' incontra; ma la ritengono
« come inutile suicidio ed avventata stoltezza; e la temerità nel-
« l' incontrar la morte pare agli assennati una brutta ed insen-
« sata parvenza di coraggio. Dovete inoltre riflettere che non
« sembriate peccar d' ingratitudine verso Dio; poichè se Egli, o
« valenti uomini, avesse voluto perdervi, non vi avrebbe, a mio
« credere, dati in mano a tali che bramano salvarvi. Tale adun-
1. διάφωρα *D* 2. διαλύσαι *MCDmf* πολεμηταῖα *D* 3. λαγοβάρδαι *WvVf(marg.) L* 4. θορησὶν *MCmf (corr. in marg.), H* θορισὶ *D* 4-5. λαγοβάρδων *W* λαγοβαρδῶν *vVL* 5. αὐδούιν *D* ἑκατέρων *D* ἀνδρῶν μόνων *MCDmf* (μόνον *in parent.)* μιριάδες *W* 6. οὔποτε τὰ *D* 7. καθεορῶντο *Mf (marg.)* καθορῶντο *CDmf* καθωρῶντο *H* τὰ *om. D* 9. ἀπήνεγκαν *WvVf (marg.), Reg.* μόνον *D* 10. τισὶ *D* 11. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 12. φοβεροῖς *MCDmf (corr.)* 12-13. ὁρῶν - οὕτως] *WvVf (marg. om.* οὕτως*), Reg. (id.)* οἷς οἱ περί τε αὐτῷ διασκεδαννύμενοι ἀκόσμως ᾔεσαν οὕτως *gli altri codd. e le edd.; prima di* ὁρῶν *o dopo si desidera* τοὺς περὶ αὐτὸν *da cui forse procede l' insensato* οἷς οἱ περί τε αὐτῷ *della vulgata.* 13. ἤδη *MCDmf (corr.)* ὁμίαν *MCDmf (corr.)*

Poichè però non erano in grado di appianare le dissensioni sorte fra di loro, pensarono dover venire alla guerra. I Gepidi quindi ed i Longobardi andarono in massa con gran foga gli uni contro gli altri. A capo dei Gepidi stava Thorisino, dei Longobardi Auduino, ciascuno seguito da molte miriadi di uomini. Eran già assai prossimi gli eserciti, benchè tuttora non si scorgessero l'un l'altro; poichè il timor panico, come suol dirsi, cogliendoli di repente ambedue, senza alcun motivo li faceva tutti indietreggiare, rimanendo soli sul posto i duci con alcuni pochi, i quali cercavano di farli tornare indietro e smetter dalla fuga, senza però riuscire nè colle buone nè colle cattive. Auduino, impensierito al vedere i suoi così bruttamente sbandarsi, poichè non si era accorto che

κληρῶσθαι τύχην) τῶν οἱ ἑπομένων τινὰς ἐπὶ πρεσβείᾳ παρὰ τοὺς B 551
ἐναντίους εὐθὺς ἔπεμψε τὴν εἰρήνην αἰτησομένους. οἵπερ, ἐπεὶ παρὰ
τὸν ἄρχοντα τῶν Γηπαίδων Θορισὶν ἀφικόμενοι τὰ πρασσόμενα εἶδον,
ἔκ τε τῶν ἐν σφίσιν αὐτοῖς τετυχηκότων κατενόησαν τὰ τοῖς πολεμίοις
5 ξυνενεχθέντα καὶ τῷ Θορισὶν ἐς ὄψιν ἐλθόντες ἀνεπυνθάνοντο αὐτοῦ
ὅπη ποτέ οἱ γῆς τῶν ἀρχομένων τὸ πλῆθος εἴη. καὶ ὃς τῶν ξυμ-
πεπτωκότων οὐδὲν ἀρνηθεὶς « Φεύγουσιν οὐδενὸς διώκοντος » ἔφη. οἱ
δὲ ὑπολαβόντες « Ταὐτὸ τοῦτο » φασὶ « καὶ Λαγγοβάρδαι πεπόνθασιν.
« ἀληθιζομένῳ γάρ σοι, ὦ βασιλεῦ, οὐδέν τι τῶν ἡμετέρων ἀποκρυψό-
10 « μεθα. οὐκοῦν ἐπειδὴ τὰ γένη ταῦτα διολωλέναι ὡς ἥκιστα βουλο-
« μένῳ τῷ θεῷ ἐστι καὶ ἀπ' αὐτοῦ διέλυσε τὴν παράταξιν, σωτήριον
« ἀμφοτέροις ἐπιβαλὼν δέος, φέρε δὴ καὶ ἡμεῖς ἐπιχωρήσωμεν τῇ τοῦ P 616
« θεοῦ γνώμῃ, τὸν πόλεμον καταλύοντες ». « Ἔστω, γινέσθω ταῦτα »

1. οἱ *om. D* 2. ἀπαιτησομένους *D* 3. θορησὶν *MCDmf, H* 5. ξυ-
νεχθέντα *W* τῷ *om. WvL; in parent. f* θορησὶν *MC, H* θορισὶ *D* θω-
ρησὶν *mf* 6. οἱ *om. D* ἧει *MCDmf, HP* 7. Φεύγουσιν] *WvVL*
πεφεύγασιν *gli altri codd. e le edd.* διώκοντος] *WvVL* διώκοντος αὐτοὺς *gli
altri codd. e le edd.* 8. καὶ *om. WvV; in parent. f* λαγοβάρδαι *WvV*
9-10. ἀποκρυψώμεθα *D* 12. φέρη *W* ἐπιχειρήσομεν *D* ἐπιχηρήσωμεν *Wv*
ἐπιχειρήσωμεν *Vf (marg.), Reg.*

la stessa sorte toccava ai nemici, tosto mandò taluni del suo se-
guito come legati agli avversari per chieder pace. Giunti costoro
presso il duce dei Gepidi Thorisino, videro quel ch'era avvenuto
e dietro quanto era accaduto presso di loro, intesero ciò che suc-
cedeva fra i nemici. Venuti quindi al cospetto di Thorisino gli
chiesero dove mai fosse la moltitudine dei suoi sottoposti; e colui
senza negare nulla dell'avvenuto rispose: « Sono in fuga senza
« che alcuno li insegua »; e coloro: « Lo stesso », ripresero, « è
« avvenuto ai Longobardi; poichè tu dici, o re, la verità, noi non
« vogliamo nasconderti nulla delle cose nostre; ordunque, dacchè
« Iddio, non volendo che queste genti andassero in perdizione,
« fece andare a vuoto il loro conflitto coll' incutere ad ambedue
« un salutare terrore, orsù piegamoci pur noi al divino volere e
« rinunziamo alla guerra ». « Sia pure », rispose Thorisino, « e

ὁ Θορισὶν ἔφη. δυοῖν τε οὕτως ἐνιαυτοῖν ἐκεχειρίαν πεποίηνται, ὅπως μεταξὺ ἐπικηρυκευόμενοί τε καὶ παρ᾽ ἀλλήλους ἀεὶ φοιτῶντες ἅπαντα ἐς τὸ ἀκριβὲς τὰ διάφορα διαλύσωσι. τότε μὲν οὖν οὕτως ἑκάτεροι ἀνεχώρησαν.

V 214 Ἐν δὲ τῇ ἐκεχειρίᾳ ταύτῃ οὐχ οἷοί τε γεγενημένοι ἐς τῶν ἀντιλεγομένων τὴν διάλυσιν ἀλλήλοις ξυμβῆναι, αὖθις ἐπὶ τὰ πολέμια ἔργα χωρεῖν ἔμελλον. δειμαίνοντές τε Γήπαιδες τὴν Ῥωμαίων ἀρχὴν (ἐπίB 552 δοξοι γὰρ ἦσαν ὡς Λαγγοβάρδαις ξυντάξονται) τῶν τινας Οὔννων ἐς τὴν ὁμαιχμίαν ἐπαγαγέσθαι διενοοῦντο. ἔπεμψαν οὖν παρὰ τῶν Κουτριγούρων τοὺς ἄρχοντας, οἳ δὴ ἐνθένδε ᾤκηνται λίμνης τῆς Μαιώτιδος, καὶ αὐτῶν ἐδέοντο πόλεμον τὸν πρὸς Λαγγοβάρδας ξυνδιενεγκεῖν σφίσιν. οἱ δὲ αὐτοῖς δισχιλίους τε καὶ μυρίους εὐθὺς ἔπεμψαν, ὧν ἄλλοι τε ἡγοῦντο καὶ Χινίαλος, ἀνὴρ διαφερόντως ἀγαθὸς τὰ πολέμια. Γήπαιδες

1. ϑορησὶν *MC, H* ϑωρησὶν *Dmf* δυεῖν *WvV* ἐν ταυτοῖν *D* ἐγκεχειρίαν *MCDmf (corr.)* ἐκκεχ. *WvV* 3. τἀκριβὲς *L* διάφωρα *D* 5. ἐγκεχειρία *MCDmf (corr.)* ἐκκεχ. *WvV* 6. πολεμητέα *MCDmf, P* 7. σειμαίνοντες *D* 8. λογγοβάρδαις *D* λαγοβάρδαις *WvV* λογγοβάρδας *f (marg.)* οὔνων *D* 9. ἐπάγεσϑαι *MCDmf, HP* 9–10. Κουτριγούρων] *WvV f (marg.) L* κουτουργούρων *gli altri codd. e le edd.* 10. λύμνης *W* 11. τὸ *W* λογγοβάρδαι *D* λαγοβάρδας *WvV* ξυνενεγκεῖν *MCDmf (corr. in marg.), P* σφίσι *D* 12. δυσχιλίους *D* αὐτῆς *per* εὐϑὺς *W* 13. χινιαλῶν *MWL* χινιαλὼν *CvVmf, H* χιλιαλλὼν *D*

« così si faccia ». Si accordarono quindi per una tregua di due anni onde nel frattempo con reciproci e continui messaggi accuratamente appianare tutte le loro dissensioni. E così allora gli uni e gli altri tornaron via.

Durante quella tregua però non riuscirono a risolvere le loro controversie, e quindi si apprestavano nuovamente alla guerra. I Gepidi allora temendo i Romani che, pensavano, si metterebbero coi Longobardi, decisero di associarsi taluni degli Unni. Spediron quindi messi presso i principi dei Kutriguri, i quali abitano al di qua della palude Meotide, a pregarli di unirsi a loro nella guerra contro i Longobardi; e quelli tosto spediron loro dodicimila uomini che fra gli altri capi aveano Chinialo, uomo esimio nelle cose guerresche. I Gepidi però, mal sofferendo pel momento

δὲ τούτων δὴ τῶν βαρβάρων τῇ παρουσίᾳ ἐν τῷ παρόντι ἀχθόμενοι,
ἐπεὶ οὔπω τῆς μάχης ἐνειστήκει καιρός, ἀλλ' ἐνιαυτὸς ταῖς ξυνθήκαις
ἔτι ἐλέλειπτο, πείθουσιν αὐτοὺς καταθεῖν μεταξὺ τὴν βασιλέως γῆν,
πάρεργον τῆς σφετέρας ἀκαιρίας πεποιημένοι τὴν ἐς Ῥωμαίους ἐπι-
5 βουλήν. ἐπεὶ δὲ Ῥωμαῖοι τὴν διάβασιν ποταμοῦ Ἴστρου ἐς τὸ ἀκριβὲς
ἔν τε Ἰλλυριοῖς καὶ τοῖς ἐπὶ Θρᾴκης χωρίοις ἐφρούρουν, αὐτοὶ τούτους
δὴ τοὺς Οὔννους ἐν χώρᾳ τῇ κατ' αὐτοὺς διαπορθμεύσαντες ποταμὸν
Ἴστρον ἐς τὰ Ῥωμαίων ἤθη ἀφίεσαν. καὶ οἱ μὲν πάντα σχεδόν τι
ἐληίσαντο τὰ ἐκείνῃ χωρία, βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπενόει τάδε.
10 πέμψας παρὰ Οὔννων τῶν Οὐτιγούρων τοὺς ἄρχοντας, οἳ δὴ ἐπέκεινα
λίμνης ᾤκηνται τῆς Μαιώτιδος, ἐμέμφετό τε καὶ ἄδικον αὐτῶν ἐπεκάλει
τὴν ἐς Κουτριγούρους ἀπραγμοσύνην, εἴπερ τὸ τοὺς φίλους διαφθειρο- B 553

3. ἤδη *per* ἔτι *MCDmf (corr. in marg.), H* καταμαθεῖν *D* τῆς βασ. γῆς *DWvVf (marg.), Reg.* 6. ἰλλυρίοις *f, HP* θράκην *f (corr. in marg.)* χωρίαις *D* 6–7. *Le parole* τούτους - κατ' αὐτοὺς *om. WvV* 7. οὔνους *D* διεπόρθμευσάν τε *WvVL* διαπορθμεύσαντας *f (marg.), P* 8. ἔς τε τὰ *MCDmf, HP* *Le parole* ἐς τὰ - ἀφίεσαν *om. WvVL* οἱ μὲν *om. WvVL; in parent. f* 10. οὔνων *D* Οὐτιγούρων] *f (marg.), Reg.* οὐττιγούρων *WvV* οὐτουργούρων *gli altri codd. e le edd.* 11. ἐμέμφωντό *W* ἐμέμφοντό *vV* αὐτὸν *WvV* ἀπεκάλει *MCDmf (corr.)* 12. Κουτριγούρους] *WvVf (marg.), Reg. e* S u i d a, *che s. v.* ἀπραγμοσύνη *riferisce le parole* ἄδικον *(r. 11)* – ἀπραγμοσύνην, κουτουργούρους *gli altri codd. e le edd.*

la presenza di questi barbari, dacchè non era tuttavia imminente l'ora della pugna ma rimaneva ancora un anno delle tregue, li persuasero a fare frattanto scorrerie sul suolo imperiale, perchè l'opera loro non ancora richiesta avesse un diversivo in un attacco contro i Romani. E poichè i Romani facean diligente guardia al passaggio del Danubio nell' Illirico e nella Tracia, coloro fecer passare a questi Unni il Danubio dalla parte del loro paese e di là fecerli penetrare nel territorio romano. Quella regione fu quasi tutta da coloro devastata; ed allora l'imperatore prese tal partito. Spedì messi presso i principi degli Unni Utiguri, i quali abitano al di là della palude Meotide, movendo loro rimprovero e dicendo ingiusto che nulla facessero contro i Kutriguri, dacchè fra i più grandi torti va annoverato il non darsi cura degli amici che vanno

μένους περιορᾶν ἐν τοῖς τῶν ἔργων ἀδικωτάτοις καταλέγειν δεήσει. αὐτῶν γὰρ Κουτρίγουροι, ἔφη, πλησιόχωροι ὄντες ἀφροντιστήσαντες, καὶ ταῦτα ἐκ Βυζαντίου χρήματα μεγάλα κομιζόμενοι ἀνὰ πᾶν ἔτος, τρόπῳ οὐδενὶ τῆς ἐς Ῥωμαίους ἀδικίας οὐ θέλουσιν ἀποπαύεσθαι, ἀλλ' ὁσημέραι καταθέουσί τε καὶ ληίζονται αὐτοὺς οὐδενὶ λόγῳ. τούτων δὲ 5 οὗτοι οὐδὲν τὸ μέρος κερδαίνοντες, οὐδὲ τῆς λείας Κουτριγούροις διαλαγχάνοντες, οὐ προσποιοῦνται κεκακωμένους Ῥωμαίους, καίπερ αὐτοῖς φίλοι ἐκ παλαιοῦ ἐς τὰ μάλιστα ὄντες. ταῦτα σημήνας τοῖς Οὐτιγούροις P 617 Ἰουστινιανὸς βασιλεὺς καὶ χρήμασι μὲν αὐτοὺς δωρησάμενος, ὑπομνήσας δὲ ὅσων δωρεῶν καὶ πρότερον πολλάκις πρὸς αὐτοῦ ἔτυχον, ἀναπείθει 10 σφᾶς ἔφοδον αὐτίκα ἐς τῶν Κουτριγούρων τοὺς ὑπολελειμμένους ποιήσασθαι. οἱ δὲ Γότθων τῶν σφίσι προσοίκων, οἳ δὴ Τετραξῖται κα-

1. περιορῶεν *MCmf (corr. in marg.), H* περιορῶν *D* ἐν] *D Wv V; om. gli altri codd. e le edd.* καταλέγει *f (corr. in marg.)* 2. Κουτρίγουροι] *W v V, Reg.* κουτούργουροι *gli altri codd. e le edd.* πλησιοχώρων *Wv V* 3. ἀνὰ πᾶν ἔτος χρήμ. μεγ. κομιζ. *Wv V L* 6. Κουτριγούροις] *Wv V, Reg.* κουτουργούροις *gli altri codd. e le edd.* 7. κακουμένους *Dv Vmf (corr. in marg.), P* κακομένους *W* οἱ αὐτῷ *MCmf (corr. in marg.), H* αὐτῷ *D* 8. Οὐτιγούροις] οὐττιγούροις *v V* οὐτριγούροις *W* κουτριγούροις *f (marg.) L* οὐτουργούροις *gli altri codd. e le edd.* 9. καὶ *om. WL* χρήματα *Wv V (-τα in rasura) f (marg.) L* αὐτοῖς *i codd., H* 10. δωρεῶν] *Wv Vf (marg.), Reg.* δώρων *gli altri codd. e le edd.* 11. Κουτριγούρων] *Wv Vf (marg.), Reg.* κουτουργούρων *gli altri codd. e le edd.* 12. προσήκων *DWv V* τραπεζίται *MD* τραπεζῖται *Cmf (corr. in marg.), H* τετραξίται *Wv V*

in perdizione; poichè, diceva, i Kutriguri loro vicini senza alcun riguardo, benchè annualmente molto danaro ricevano da Bizanzio, non vogliono in alcun modo cessar dall' insolentire contro i Romani, ma ogni dì senza alcun motivo fanno incursioni e depredazioni contro di loro; nè gli Utiguri hanno di questo alcun guadagno, chè neppure vengon messi a parte della preda dai Kutriguri; eppure nulla fanno essi pei Romani maltrattati, quantunque da tempo loro amici. Tali cose avendo Giustiniano imperatore significate agli Utiguri e fatti loro donativi di danaro, non senza ricordare quanti già ne avessero avuti per lo innanzi, li persuase ad andare in guerra contro i rimanenti Kutriguri. Coloro tratti a sè come alleati duemila dei Goti loro vicini, detti Tetraxiti, pas-

λοῦνται, δισχιλίους ἐς ξυμμαχίαν ἐπαγόμενοι διέβησαν πανδημεὶ ποταμὸν Τάναϊν. ἦρχε δὲ αὐτῶν Σανδὶλ, ἀνὴρ ξυνετώτατος μὲν καὶ πολέμων πολλῶν ἔμπειρος, ἐς ἀλκὴν δὲ καὶ ἀνδρείαν ἱκανῶς πεφυκώς. ἐπεὶ δὲ τοῦ ποταμοῦ τὴν διάβασιν ἐποιήσαντο, τῶν Κουτριγούρων πολ- 5 λοῖς ὑπαντιάσασιν ἐς χεῖρας ἦλθον. ὧνπερ ἰσχυρότατα τοὺς ἐπιόντας ἀμυνομένων ἐπὶ μακρότατον μὲν ἡ μάχη ἐγεγόνει, μετὰ δὲ Οὐτίγουροι τρεψάμενοι τοὺς ἐναντίους πολλοὺς ἔκτειναν. ὀλίγοι δέ τινες φεύγοντες, ὅπη αὐτῶν ἑκάστῳ δυνατὰ γέγονε, διεσώθησαν. καὶ αὐτῶν οἱ πολέμιοι παῖδάς τε καὶ γυναῖκας ἀνδραποδίσαντες ἐπ' οἴκου ἀπεκομίσθησαν. H 348 B 554

10 ιθ'. Τούτων δὴ τῶν βαρβάρων τότε πρὸς ἀλλήλους διαμαχομένων ᾗπέρ μοι εἴρηται, τοῦ τε κινδύνου σφίσι κατὰ τὴν ἀγωνίαν ἀκμάζοντος, εὐτυχίᾳ χρῆσθαι Ῥωμαίοις ξυνηνέχθη πολλῇ. ὅσοι γὰρ αὐτῶν ὑπὸ

1. δισχιλίοι *MCf* (δισχιλίους *in marg.*) δυσχίλιοι *Dm* δυσχιλίους *WvV* εἰς *MCDm* συμμαχίαν *WvVL* πανδημεὶ *om. MCDmf (agg. in marg.)* 2. σανδήλ *Mf (marg.)* ξανδὴλ *CDmf, H* 3. δὲ *om. WvVL* ἀνδρίαν *WvV* ἱκανὴν *MCDmf, Reg., H* ἱκανὸς *WvVf (marg.) L (corr. -ῶς), P* 4. ἐπειδὴ δὲ *WvVL* ἐπει[δὴ] δὲ *f* τοῦ *om. D* Κουτριγούρων] *WvV, Reg.* κουτουργούρων *gli altri codd. e le edd.* 6. Οὐτίγουροι] *f (marg.), H (id.)* οὐττίγουροι *WvVL* Οὐτούργουροι *PB* κουτούργουροι *MCDmf, H* 7. στρεψάμενοι *Wf (marg.) L* 10. δὲ *WvVf (marg.) L* 11. *Le parole* τοῦ τε — ἀκμάζοντος *om. MCDmf (agg. in marg.)* 12. εὐτοχία *D* χρῆσθαι *om. MCDmf (agg. in marg.)* πολλή *MCmf (corr.)*

sarono in massa il fiume Tanai. Erano comandati da Sandil, uomo di gran senno, di lunga esperienza in guerra, forte e valoroso di natura. Passato ch' ebbero il fiume scontraronsi con gran numero di Kutriguri e vennero con essi alle mani. Resisteron coloro gagliardamente all' assalto, e la battaglia si protrasse molto in lungo; finalmente gli Utiguri, volti in fuga gli avversari, molti ne trucidarono. Soltanto pochi, fuggendo dove ciascuno poteva, si misero in salvo. I nemici, fatte prigioni le loro mogli ed i loro figli, tornaronsene in patria.

XVIIII. Il pugnare che allora facevano fra di loro questi barbari, siccome io narrai, ed il periglio dei certami sempre per loro crescente fecero che i Romani avesser molto favorevole for-

V 215 Κουτριγούρους ἐν αἰχμαλώτων λόγῳ ὄντες ἐτύγχανον, ἐς μυριάδας, ὥς
φασι, ξυνιόντες πολλάς, ἐν τῷ πόνῳ τούτῳ διαλαθόντες, ἐνθένδε τε
κατὰ τάχος ἐξαναστάντες οὐδενὸς σφίσιν ἐπισπομένου ἐς τὰ πάτρια ἤδη
ἀφίκοντο, καὶ νίκης ἀλλοτρίας ἐν τοῖς ἀναγκαιοτάτοις ἀπώναντο. βα-
σιλεὺς δὲ Ἰουστινιανὸς Ἀράτιον στρατηγὸν στείλας παρά τε Χινίαλον 5
καὶ Οὔννους τοὺς ἄλλους, ἀγγεῖλαι μὲν ἐκέλευε τὰ σφίσιν ἐν γῇ τῇ
σφετέρᾳ αὐτῶν ξυνενεχθέντα, χρήματα δὲ αὐτοῖς προϊέμενον πεῖσαι
ἀπαλλάσσεσθαι ὅτι τάχιστα ἐκ Ῥωμαίων τῆς γῆς. οἱ δὲ τῶν τε
Οὐτιγούρων τὴν ἔφοδον γνόντες καὶ χρήματα μεγάλα πρὸς τοῦ Ἀρατίου
κεκομισμένοι ξυνέβησαν μήτε φόνον ἔτι ἐργάσεσθαι μήτε ἀνδραποδιεῖν 10
μηδένα μήτε τι ἄλλο ἄχαρι δράσειν, ἀλλὰ τὴν ἀναχώρησιν ἅτε διὰ
φίλων ποιήσεσθαι τῶν τῇδε ἀνθρώπων. ξυνέκειτο δὲ καὶ τοῦτο, ὥστε,
B 555 εἰ μὲν δυνατοὶ εἶεν οἱ βάρβαροι οὗτοι ἐν γῇ τῇ πατρῴᾳ ἐπανιόντες

1. Κουτριγούρους] κουτριγούροις *WvVf (marg.), Reg.* κουτουργούρους *gli altri codd. e le edd.* 2. ξιόντες *(sic) MCDmf (corr.)* διαλυθέντες *MCDmf (corr. in marg.), H* 3. οὐδενὸς] *WvVL* καὶ οὐδενὸς *gli altri codd. e le edd.* 4. ἀπώνατο *D* 7. αὐτῶν *om. Df (agg. in marg.)* δὲ *om. D* 9. Οὐτιγούρων] *f (marg.), H (id.)* οὐττιγούρων *WvVL* οὐτουργούρων *gli altri codd. e le edd.* 10. κεκοσμημένοι *D* κεκοσμιμένοι *W* μήτε - μήτε] *B* μηδὲ - μηδὲ *i codd., HP* ἐργάσασθαι *MCDmf* ἀνδραποδεῖν *MCDmf (corr.)* 11. μήτε] *B* μηδὲ *i codd., HP* δράσσειν *MDmf (corr.)* δάσειν *C* 12. ποιήσασθαι *MCDmf, HP* καὶ *soprascr. W; om. L* 13. εἶναι *P*

tuna; poichè quanti di loro erano stati dai Kutriguri fatti prigionieri, in numero, come dicono, di molte miriadi, colta l'occasione, prestamente evadendo senza che alcuno li inseguisse tornaronsene in patria. E nelle strettezze in cui erano, colser così il frutto della vittoria altrui. L'imperatore Giustiniano spedito il capitano Aratio a Chinialo ed agli altri Unni, gli ordinò di annunziare ad essi i fatti avvenuti nel loro paese e prodigando danaro indurli a lasciare al più presto il territorio romano. Coloro, avuta conoscenza della irruzione degli Utiguri e ricevuto da Aratio molto danaro, si impegnarono a non commettere più uccisioni ed a non menar prigione alcuno, nè fare altro male, ed a partire come amici degli abitanti di quella regione. Fu anche convenuto che quando questi barbari potessero tornare a stabilirsi nel patrio loro paese,

ἱδρύεσθαι, μένειν τε αὐτοῦ καὶ πίστεως τῆς ἐς Ῥωμαίους τὸ λοιπὸν ἔχεσθαι· ἢν δέ γε αὐτοῖς ἐνταῦθα μένειν ἀδύνατα ᾖ, ἐπανιέναι μὲν αὖθις αὐτοὺς ἐς γῆν τὴν Ῥωμαίων, βασιλέα δὲ σφᾶς δωρήσασθαί τισι τῶν ἐπὶ Θρᾴκης χωρίων, ἐφ' ᾧ ἐνταῦθα ἐνοικησάμενοι ἔνσπονδοί τε P 618
5 τὸν πάντα αἰῶνα Ῥωμαίοις ἔσονται καὶ τὴν χώραν ἐς τὸ ἀκριβὲς ξυμφυλάξουσιν ἐκ πάντων βαρβάρων.

Ἤδη δὲ καὶ Οὔννων τῶν ἡσσημένων ἐν τῇ ξυμβολῇ καὶ διαφυγόντων τοὺς Οὐτιγούρους δισχίλιοι ἦλθον ἐς Ῥωμαίων τὴν γῆν, παῖδάς τε καὶ γυναῖκας ἐπαγόμενοι. ἡγοῦντο δὲ αὐτῶν ἄλλοι τε καὶ Σιννίων, ὅσπερ
10 ξὺν Βελισαρίῳ πολλῷ πρότερον ἐπί τε Γελίμερα καὶ Βανδίλους ἐστράτευσε, γίνονταί τε Ἰουστινιανοῦ βασιλέως ἱκέται. καὶ ὃς αὐτοὺς ὑπεδέξατο προθυμίᾳ τῇ πάσῃ, ἔν τε χωρίοις ἱδρύσασθαι τοῖς ἐπὶ Θρᾴκης ἐκέλευσεν. ἅπερ ἐπεὶ Σανδὶλ, ὁ τῶν Οὐτιγούρων βασιλεὺς, ἔμαθε,

1. αὐτοῦ *om. MCDmf (agg. in marg.)* τολοιπὸν *MCWvmf* 2. ἐν ταύτῃ *WvV, Reg.* 3. γὴν τῶν *MCWmf, HP* γῆν τῶν *D* δυρήσασθαι *D* 4. Θρᾴκης] *DWvV* τῆς θρ. *gli altri codd. e le edd.* ἐταῦθα *(sic) W* οἰκησάμενοι *MCDmf (corr. in marg.), P* 8. Οὐτιγούρους] *f (marg.), H (id.)* οὐττιγούρους *WvVL* οὐτουργούρους *gli altri codd. e le edd.* δυσχίλιοι *Df (corr.)* 9. σισινίων *CDmf, H* σινίων *f (in marg.) L* 10-11. ἐστράτευσεν *W* ἐστράτευε *f, HP* 11. γίνονται δὲ *D* οἰκέται *MC* οἰκέταις *D* οἱ ἱκέται *Wv* οἰκέται *(ἱ soprascr. di pr. m.) V* οἰκέται *mf, P* 12. τῆς *per* τοῖς *L* 13. σανδὴλ *MCDm* σανδεὶλ *f (corr. in marg.), H (id.)* Οὐτιγούρων] οὐττιγούρων *WvV* οὐτουργούρων *gli altri codd. e le edd.*

colà rimarrebbero e sempre manterrebbero la fede promessa ai Romani. Se poi fosse loro impossibile rimanervi, tornerebbero sul suolo romano e l' imperatore concederebbe loro alcuni paesi della Tracia, perchè vi ponesser dimora, rimanendo perpetuamente fedeli al patto coi Romani e con questi difendendo accuratamente quella regione contro tutti i barbari.

Già duemila degli Unni, vinti nel conflitto e fuggiti dagli Utiguri, eran venuti sul suolo romano, menando seco i figli e le mogli. Aveano a capo, insieme ad altri, Sinnione, il quale molto tempo innanzi avea militato con Belisario contro Gelimero ed i Vandali; e venivano come supplichevoli all' imperatore Giustiniano. Questi li accolse molto benignamente e li invitò a stabilirsi nei paesi della Tracia. All' udir ciò il re degli Utiguri, Sandil,

παρωξυσμένος τε καὶ περιωργισμένος, εἰ αὐτὸς μὲν Κουτριγούρους ὁμογενεῖς ὄντας ἀδικίας τῆς εἰς Ῥωμαίους τιννύμενος ἐξ ἠθῶν ἀναστήσειεν αὐτοὺς τῶν πατρίων, οἱ δὲ βασιλέως σφᾶς ἐνδεξαμένου ἐνοικησάμενοι ἐν Ῥωμαίων τῇ γῇ πολλῷ ἄμεινον βιοτεύσουσιν, ἔπεμψε πρέσβεις ἐς βασιλέα τὰ πεπραγμένα ὀνειδιοῦντας, οὐκ ἐπιστολὴν αὐτοῖς τινα 5
B 556 ἐγχειρίσας, ἐπεὶ γραμμάτων παντάπασιν Οὖννοι ἀνήκοοί τε καὶ ἀμελέτητοι ἐς τόδε εἰσὶ καὶ οὔτε γραμματιστήν τινα ἔχουσιν οὔτε τῳ περὶ τὰ γράμματα πόνῳ ξυναύξεται αὐτοῖς τὰ παιδία, βαρβαρικώτερον δὲ ἅπαντα ἀποστοματιοῦντας, ὅσα δὴ αὐτὸς ἐπέστελλε σφίσιν. ἀφικόμενοι οὖν οἱ πρέσβεις ἐς ὄψιν Ἰουστινιανῷ βασιλεῖ λέγειν οἱ ἔφασαν δι' 10 αὐτῶν ὡς ἐν ἐπιστολῇ τάδε βασιλέα Σανδίλ. « Παροιμίαν τινὰ ἐκ

1. παροξυσμένος *DWvVmf (corr.)* τε] *WvV*; *om. gli altri codd. e le edd.* εἴ *WvV* Κουτριγούρους] *WvVL* κουτουργούρους *gli altri codd. e le edd.* 2. ἀδικείας *D* ἐς *DWvV* τινύμενος *D* 3. δεξαμένου *D* 4. τὴν γῆν *D* βιοτεύσουσιν] *MCmf, H* βιωτεύσουσιν *vV* βιωτεύουσιν *Wf (marg.) L, H (marg.)* βιωτεύουσι *D* βιοτεύουσιν *PB* ἔπεμψεν οὖν *WvVf (marg.), H (id.)* 5. ὀνειδιοῦνται *D* 5–6. τινα ἐγχειρ. αὐτοῖς *WvVf (marg.) L* 6. ἐγχειρήσας *MCDmf (corr.)* πραγμάτων *D* 7. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* γραμματιστήν] *vV* γραμματικήν *gli altri codd. e le edd.* τῷ *WvV* περὶ *om. D* 8. συναύξεται *WvV* 9. ἀποστοματιοῦντας] *CDWvVmf* (ἀποστοματιούνταις *di sec. m.*, ς *cancell.*), *Braun* ἀποστοβατιοῦντας *M* ἀποστομιοῦνται *L* ἀποστομιοῦντας *le edd.* ἐπιστείλει ἐς φίσιν *Wv* ἐπιστείλειε σφίσιν *VL* 10. *Il secondo* οἱ *om. D* 11. ὡς *om. L* βασιλεὺς *f (marg.) L* σανδὴλ *MCDmf, H*

irritato ed incollerito, perchè mentre egli avea scacciato i Kutriguri suoi connazionali dalle patrie sedi per vendicare l' ingiuria fatta ai Romani, coloro accolti dall' imperatore e presa dimora sul suolo romano, avessero a vivere assai meglio di prima, spedì legati all' imperatore a rimproverarlo del suo operato, senza però consegnar loro alcuna lettera, poichè gli Unni sono affatto incolti e fino al dì d' oggi di lettere non sanno nulla, nè hanno alcun maestro di lettere, nè i loro figli in tale studio vengono educati; ma, alla maniera barbarica, doveano essi ripetere a mente quanto il re avea loro ingiunto. Venuti quindi al cospetto dell' imperatore Giustiniano, dissergli che a lui, come in una lettera, il re Sandil parlava così: « Quand' io era fanciullo, rammento aver

« παιδὸς ἀκηκοὼς οἶδα, καὶ εἴ τι μὴ αὐτῆς ἐπιλέλησμαι, τοιαύτη τις ἡ
« παροιμία τυγχάνει οὖσα. τὸ θηρίον ὁ λύκος τῆς μὲν τριχὸς, φασὶν,
« ἴσως ἄν τι καὶ παραλλάξαι οὐκ ἀδύνατος εἴη, τὴν μέντοι γνώμην οὐ
« μετατρέψει, οὐκ ἀφιείσης αὐτῷ μεθαρμοσαμένῳ τῆς φύσεως. οὕτως ὁ
5 « Σανδὶλ τῶν πρεσβυτέρων ἀκήκοα, πλαγίῳ τινὶ παραδηλούντων τὰ
« ἀνθρώπινα λόγῳ. οἶδα δέ τι καὶ ἀπὸ τῆς πείρας μαθὼν, οἷα εἰκὸς ἦν
« ἀγροικιζόμενον βάρβαρον ἐκμαθεῖν, τοὺς κύνας οἱ ποιμένες ἐπιτιτθίους
« ὄντας ἀναιρούμενοι οὐκ ἀπημελημένως οἴκοι ἐκτρέφουσιν. εὐγνῶμον
« δὲ τοῖς σιτίζουσι ζῷον ὁ κύων καὶ τὰ ἐς χάριν μνημονικώτατον. πράσ-
10 « σεται οὖν ταῦτα τοῖς ποιμέσι τούτου δὴ ἕνεκα, τοῦ τῶν λύκων ἐπιόντων
« ποτὲ διακρούεσθαι τὰς ἐκείνων ἐφόδους τοὺς κύνας παραστάτας τε καὶ H 349

1. οἶδα ἄρτι μὴ *MCDmf (corr. in marg.), H* 2. παρημία *D* τυγχάνη *W* τὸ θηρίον *cancell. come glossa van Herwerden* μὲν *om. D* φασὶ *D* φησὶν *f (marg.), Reg.* 3. ἄν τι καὶ *om. L* τὸν *per* τὴν *D* 4. μεταστρέφει *WvV f (marg.) L* μεταστρέψει *Reg.* 4–5. οὐκ ἀφυῶς αὐτὸ μεθαρμοσαμένων φησὶν ὁ σανδὴλ *MCmf (corr. in marg.), H (id.)* οὐκ ἀφυῶς αὐτὸ μεθ' ἁρμοσαμένων φησὶ ὁ σανδὴλ *D* 5–6. πλαγίω τινὶ λόγω παρ. τὰ ἀνθρ. οἶδα *W* (οἷα *per* οἶδα) *vVL* 6. οἷαν *per* οἷα *D* 7. ἀγρικιζόμενον *MCDmf (corr.)* ἀγροικιζομένων βαρβάρων *WvVL* κῦνας *WvV* ἐπιτηδείους *MCDmf (corr. in marg.), H* 8. ἀνερούμενοι *MCmf (corr.)* τρέψουσιν *MCDmf (corr. in marg.)* τρέφουσιν *P* εὐγνώμων *i codd. (L corr.), P* 9. τοῖσιτίζουσι *m (corr.)* ζώων *DWvV* τὰ *om. D* μνημονικώτατον] *WvVL* μνημονηκώτατος *D* μνημονικώτατος *gli altri codd. e le edd.* 9–10. πράσσεσθαι *Wf (marg.) L* 11. διακρούεσθαι] *i codd.* διακρούσεσθαι *le edd.* ἐκείνων *om. MCDmf (agg. in marg.)* κῦνας *vV* παραστάντας *Df (marg.), Reg.* παραστάντες *W*

« udito un proverbio, il quale, se ben mi ricordo, è il seguente:
« il lupo, feroce animale, dicono, potrà forse cambiare il pelo, ma
« l' indole non cambierà, dacchè la natura non gli permette di
« emendarsi. Tanto io, Sandil, udii dai vecchi, i quali così in-
« direttamente accennavano a fatti umani. Ed anche un' altra
« cosa so e conosco per esperienza come si addice ad un barbaro
« vissuto nei campi, che cioè i pastori tolgono i cani dalla poppa
« e accuratamente li allevano in casa. Ed il cane è animale
« riconoscente verso chi lo nutrisce, e quanto mai memore dei
« benefizi. I pastori così fanno con tale scopo: che se mai ven-
« gano assaliti dai lupi, sian quelli respinti dai cani fattisi pro-

B 557 « σωτῆρας τοῖς προβατίοις καθισταμένους. καὶ ταῦτα ἐν γῇ τῇ πάσῃ
« γίνεσθαι οἶμαι. τεθέαται γὰρ τῶν πάντων οὐδεὶς οὔτε ποίμνῃ κύνας
« ἐπιβουλεύσαντας οὔτε λύκους ἀμυνομένους αὐτοῖς πώποτε, ἀλλ᾽ ὥσπερ
« τινὰ τοῦτον ἡ φύσις θεσμὸν κυσί τε καὶ προβάτοις καὶ λύκοις νομο-
« θετήσασα ἔθετο. οἶμαι δὲ κἀν τῇ βασιλείᾳ τῇ σῇ, εἰ καὶ πραγμάτων 5
« ἐκ τοῦ ἐπὶ πλεῖστον ἁπάντων, τάχα δέ που καὶ τῶν ἀμηχάνων πε-
« ριουσίαν ξυμβαίνει εἶναι, παράλλαξιν τούτων τινὰ οὐδαμῇ γίγνεσθαι.
« ἢ γοῦν, τοῖς πρέσβεσι τοῖς ἐμοῖς δείξατε ὅπως ἄν τι καὶ τῶν οὐκ
P 619 « εἰωθότων ἐπὶ γήραος οὐδῷ μάθοιμεν· εἰ δὲ ἀραρότως ταῦτα πανταχῇ
« πέφυκεν, οὐ καλόν σοί ἐστι Κουτριγούρων τὸ γένος ξεναγεῖσθαι, 10
« οἶμαι, τεθολωμένον ἐπαγαγομένῳ γειτόνημα, καὶ οὓς ὄντας ὑπερορίους
V 216 « οὐκ ἤνεγκας, τούτους ἐνδήμους πεποιημένῳ. αὐτοί τε γὰρ τρόπον
« ἐς Ῥωμαίους τὸν οἰκεῖον ἐνδείξονται οὐ πολλῷ ὕστερον, καὶ τούτου

1. καθημέν. *L* ταύτῃ *WvVL* ἐν γῇ *om. D* 2. οἴομαι *i codd.* κῦνας *WvV* λύκους *per* κῦνας *L (di sec. m.)* 3. ἐπιβουλεύσαν *v* αὐτὴν πάνποτε *WvVL* 4. τούτων *WvV* 5. οἳ *per* οἶμαι *WL (in marg.* ὧδε*)* κἂν *MCmf (corr.)* καὶ *per* κἀν *D* οὐ δὴ *per* εἰ καὶ *WvVL (*οὖ δὴ*)* 7. γίνεσθαι *DL* 8. ἢ γοῦν] *WvV* ἤγουν *f (marg.) L* ἢ οὖν *le edd.* γοῦν *om. MCDmf* 9. μάθοι μὲν *D* 10. οὐκ ἄλλον σοι *D* καλῶς *WvVf (marg.) L* ἐς *per* ἐστι *WvVf (marg.* ἐς τὸ*) L, H (id.)* Κουτριγούρων] *WvVf (marg.), Reg.* κουτουργ. *gli altri codd. e le edd.* ξυναγ. *D* ξοιναγ. *W* 11. τεθωλωμένων *D* ἐπαγόμενον *MCmf (corr. in marg.)* ἐπαγαγόμενοι *WvV; om. D* ἐπαγομ. *P* 12. τανῦν *per* τούτ. *WvVf (marg.), Reg.* πεποιημένος *WvVL* τε] *MCvVm* γε *D (corr.) Wf (soprascr.) L; om. le edd.*

« tettori e salvatori delle pecorelle. Lo stesso credo io accada
« in tutto il mondo. Poichè mai niuno non vide cani aggre-
« dire i pastori, nè lupi difenderli; quasi la natura abbia posto
« così una legge pei cani, per le pecore, pei lupi. Non credo che
« in tali cose vi sia diversità neppur nel tuo impero, quantunque
« vi abbondino ogni sorta di fatti, e forse anche de' più strani.
« Se mai, vogliate indicarlo ai miei legati affinchè sull' orlo della
« vecchiaia impariamo qualcosa di men che ordinario. Se poi così
« è stabilmente dovunque, non è bello da parte tua, a mio cre-
« dere, l' accogliere ospitalmente i Kutriguri, procacciandoti un
« torbido vicinato, ed accordar dimora presso di te a tali che già,
« mentr' erano al di là dei tuoi confini, non sopportavi. Costoro
« non tarderanno a dimostrare ai Romani l' indole loro; oltre di

« χωρὶς οὔτε πολέμιος ἐπιλείψει διαφθείρων τὴν τῶν Ῥωμαίων ἀρχὴν,
« ἐλπίδι τοῦ ἡσσηθεὶς ἀμείνων ἔσεσθαι παρὰ σοὶ, οὔτε φίλος περιέσται
« Ῥωμαίοις, ἐμπόδιός ποτε τοῖς καταθέουσι γῆν τὴν ὑμετέραν ἐσόμενος,
« δέει τοῦ μὴ, ἐπειδὰν φέρηται παρὰ τῆς τύχης τὰ κράτιστα, τοὺς
5 « ἡσσημένους ἐπιδεῖν ἐπιφανέστερον αὐτοὺς παρ' ὑμῖν πράσσοντας, εἴ γε
« ἡμεῖς μὲν ἐν χώρᾳ ἐρήμῳ τε καὶ ἄλλως ἀγόνῳ τὰ διαιτητήρια ἔχομεν, B 558
« τοῖς δὲ Κουτριγούροις σιτωνεῖν τε κἂν τοῖς οἰνῶσι κατακραιπαλᾶν ἐν
« ἐξουσίᾳ ἐστὶ καὶ παροψίδας αἱρεῖσθαι πάσας. πάντως δέ πη καὶ βα-
« λανείων αὐτοῖς μέτεστι. καὶ χρυσοφοροῦσιν οἱ πλανῆται καὶ ἱματίων
10 « οὐκ ἀμοιροῦσι λεπτῶν τε καὶ πεποικιλμένων καὶ κατακεκαλυμμένων
« χρυσῷ. καίτοι Κουτρίγουροι μὲν Ῥωμαίων ἀνάριθμα πλήθη ἐξην-
« δραποδικότες τὰ πρότερα μετήνεγκαν ἐς γῆν τὴν σφετέραν. οἷς δὴ

1. πολεμίους *D* τῶν *om. WvVL; in parent. f* 2. ἡσσῆσθαι *MCDm f (corr. in marg.), P* 3. καταθέουσιν *D* 4. τῆς *om. MCDmf* 5. ἐπίδη ἐπιφανότερον *MC* ἐπειδή τε ἐπιφανώτερον *D* ἐπιδεῖν ἐπιφανώτερον *WvVf (corr. in marg.) L* ἐπιδὴ ἐπιφανότερον *mf, H* 5-6. *Le parole* εἴ γε - ἐρήμῳ τε *om. MCDmf (agg. in marg.)* 6. ἀγῶνος *MCDmf (corr. in marg.), H* διαιτήρια *D* 7. γὰρ *per* δὲ *MCDmf (corr. in marg.), H* Κουτριγούροις] *WvV, Reg.* οὐτουργούρους *gli altri codd.* Κουτουργούροις *le edd.* καὶ *per* κἂν *i codd.* κατὰ κρεπαλᾶν *W* 8. ἐστὶν *W* 9. μετέστι *D* 10. περι-κιλμένων *D* καταληλειμένων *WL (in marg.* κατειλημένων*)* καταληλειμμένων *vV* 11. καί τι *W* Κουτρίγουροι] *WvVf (marg.), Reg.* κουτούργουροι *gli altri codd. e le edd.*

« che niun nemico tralascierà di far danno all'impero romano nella
« speranza che, anche vinto, venga a star meglio presso di te.
« Niun amico rimarrà ai Romani che voglia opporsi mai a quanti
« invadono il vostro suolo, pel timore che, quando la sorte gli
« riesca pur favorevolissima, abbia egli a vedere da voi splendi-
« damente trattati coloro ch' ei vinse. Dacchè noi abbiamo no-
« stra dimora in un paese solitario e sterile, mentre i Kutriguri
« possono provvedersi di vitto e gozzovigliare liberamente nelle
« cantine e scegliersi ogni sorta di manicaretti. Ed anche dei
« bagni possono servirsi ed han pure ornamenti d' oro questi va-
« gabondi, nè mancan loro fini vestiti guarniti e ricoperti d' oro.
« Eppure i Kutriguri già prima innumerevoli Romani avean fatto
« prigioni e menati via al loro paese, dai quali questi scellerati

« τὰ ἀνδραποδώδη πάντα ἐπέχειν οὐ πάρεργον τοῖς καταράτοις ἐγίνετο,
« ἀλλὰ καὶ μάστιγας οὐχ ἡμαρτηκόσιν ἐντεῖναι καὶ θανατοῦν ἴσως
« πρόχειρον ἦν, καὶ ὅσα ἄλλα δεσπότῃ βαρβάρῳ ὅ τε τρόπος καὶ ἡ
« ἐξουσία ἐφίησιν. ἡμεῖς δὲ πόνοις τε ἡμετέροις καὶ κινδύνοις ἐς ψυχὴν
« φέρουσι τύχης αὐτοὺς ἀπαλλάξαντες τῆς τότε κρατούσης τοῖς γεινα- 5
« μένοις ἀπέδομεν, διαπονήματα ἡμῖν τοῦ πολέμου γεγενημένους. ὧν
« δὴ τὰς ἀμοιβὰς πρὸς ὑμῶν ἀπ' ἐναντίας ἑκάτεροι κεκομίσμεθα, εἴ γε
« ἡμεῖς μὲν ἀπολαύομεν ἔτι τῶν πατρίων κακῶν, οἱ δὲ τοῖς δι' ἀρετὴν
« ἡμετέραν ἀποφυγοῦσι τὴν αὐτῶν δούλωσιν χώρας τῆς ἐκείνων ἰσο-
« μοιροῦντες διαλαγχάνουσι ». τοσαῦτα μὲν Οὐτιγούρων οἱ πρέσβεις 10
εἶπον. βασιλεὺς δὲ αὐτοὺς πολλὰ τιθασσεύσας καὶ δώρων πλήθει
παρηγορήσας οὐκ ἐς μακρὰν ἀπεπέμψατο. ταῦτα μὲν οὖν τῇδε ξυνη-
νέχθη γενέσθαι.

1. ἀνδραπώδη (δω soprascr. di m. rec.) W ἀνδραπώδη v V « τῆς καταχρατήσεως I. Scalig. » f (marg.) καταχράτοις MCDmfL, H 6. ἀπέσομεν D 7. ἀμειβὰς C ἡμῶν L κεκοσμίσμεθα DW 8. ἀπολάβομεν CDmf (corr.) τὴν per τοῖς MCDmf (corr. in marg.), H 10. Οὐτιγούρων] οὐττιγούρων W v V L οὐτουργούρων gli altri codd. e le edd. 11. τιθασσεύσας] i codd., HP τιθασεύσας B

« non si ristettero dall' esigere ogni sorta di servizio da schiavi;
« che anzi facilmente, senza che commettessero alcun male, li
« punivan col bastone e forse anche colla morte, usando loro
« ogni sevizia che l' indole e la licenza può suggerire ad un bar-
« baro padrone. Mentre noi invece colle nostre fatiche, mettendo
« a repentaglio la vita, li liberammo dalle sciagure che li trava-
« gliavano e li rendemmo ai loro genitori, come frutto della guerra
« da noi fatta. Ed ora gli uni e gli altri riceviamo da voi per
« tali cose appunto il contrario del dovuto guiderdone. Dacchè
« noi siam tuttavia in mezzo ai mali della nostra patria, mentre
« essi da coloro che per virtù nostra sfuggirono al loro servaggio
« son messi a parte alla pari del godimento del proprio paese ».
Tanto dissero i legati degli Utiguri. L' imperatore, calmatili
con blande parole e con larghi donativi, poco dopo li rimandò.
A tanto ne erano adunque colà le cose.

κ'. Κατὰ δὲ τὸν χρόνον τοῦτον τῷ τε Οὐάρνων ἔθνει καὶ στρατιώταις νησιώταις, οἳ δὴ ἐν νήσῳ τῇ Βριττίᾳ καλουμένῃ ᾤκηνται, πόλεμος καὶ μάχη ἐγένετο ἐξ αἰτίας τοιᾶσδε. Οὔαρνοι μὲν ὑπὲρ Ἴστρον ποταμὸν ἵδρυνται, διήκουσι δὲ ἄχρι τε ἐς ὠκεανὸν τὸν ἀρκτῷον 5 καὶ ποταμὸν Ῥῆνον, ὅσπερ αὐτούς τε διορίζει καὶ Φράγγους καὶ τἆλλα ἔθνη, ἃ ταύτῃ ἵδρυνται. οὗτοι ἅπαντες, ὅσοι τὸ παλαιὸν ἀμφὶ Ῥῆνον ἑκατέρωθεν ποταμὸν ᾤκηντο, ἰδίου μέν τινος ὀνόματος ἕκαστοι μετελάγχανον, ὧν δὴ ἔθνος ἓν Γερμανοὶ ὀνομάζονται, ἐπὶ κοινῆς δὲ Γερμανοὶ ἐκαλοῦντο ἅπαντες. Βριττία δὲ ἡ νῆσος ἐπὶ τούτου μὲν τοῦ 10 ὠκεανοῦ κεῖται, τῆς ἠϊόνος οὐ πολλῷ ἄποθεν, ἀλλ' ὅσον ἀπὸ σταδίων διακοσίων καταντικρὺ τῶν τοῦ Ῥήνου ἐκβολῶν μάλιστα, Βρεττανίας δὲ καὶ Θούλης τῆς νήσου μεταξύ ἐστιν. ἐπεὶ Βρεττανία μὲν πρὸς δύοντά που κεῖται ἥλιον κατὰ τῆς Ἱσπανῶν τὰ ἔσχατα χώρας, ἀμφὶ

P 620 B 559

1. οὐάρων *M (corr.) D* 1-2. στρατιώτες νισιώτες *W (corr.)* 2. νισιώταις *v* νισσιώταις *V* βρυτία *M e C m f (corr. in marg.), H* βριτία *D* 3. οὔαροι *M e C m f (corr. in marg.), H* οὐάρνὸς *W v* οἵπερ *W v V* 4. διήκουσιν *W v V L* δὲ *om. W v V L* τε *om. W v V L* 5. *Il primo* καὶ *om. W L* ποταμόν τε ῥ. *f (marg.) L* τὰ ἄλλα *D W v V* 6. πάντες *f (marg.), H (id.)* τοπαλαιὸν *M C W v m f* 7. ᾤκηνται *f (marg), Reg.* ἕκαστος *M (corr.) D* ἕκαστοι *(-ι in rasura) C* 8. ὁ *per* ὧν *W v V f (marg.), Reg.* ἓν *om. W v V, Reg.* ὠνομάζ. *D* 8-9. ἐπίκοινον εἰληχότες τὸ ὄνομα *invece di* ἐπὶ κοινῆς - ἅπαντες *W v V f (marg.), Reg.* 9. βρυτία *e C* βριτία *D* τοῦ *om. W v V L* 10. ἠϊόνος] *e W v V* ἠόνος *gli altri codd. e le edd.* 11. τριακοσίων *W L* ////ιακοσίων *v* βρετανίας *D W L* 12. βρετανεία *W L*

XX. In questo tempo i Varni vennero a battaglia coi soldati che abitano l' isola nomata Brittia, essendo scoppiata la guerra per la seguente ragione. I Varni abitano al di là del Danubio estendendosi fino all' Oceano boreale ed al fiume Reno, il quale li separa dai Franchi e dalle altre popolazioni colà stanziate. Tutti costoro, quanti anticamente risiedevano da ambo le parti del Reno, eran distinti ciascuno con nome proprio; ed una di quelle popolazioni portava il nome di Germani, il qual nome di Germani divenne poi comune a tutti quanti. In quell' Oceano è situata l' isola Brittia, non molto lontano dalla spiaggia, ma a circa dugento stadi rimpetto alla foce del Reno, di mezzo fra la Brettagna e l' isola di Thule; poichè la Brettagna è situata ad occidente tanto in là quanto la Spagna, circa quattromila stadi distante

σταδίους οὐχ ἧσσον ἢ ἐς τετρακισχιλίους τῆς ἠπείρου διέχουσα, Βριττία δ' ἐς τῆς Γαλλίας τὰ ὄπισθεν, ἃ δὴ πρὸς ὠκεανὸν τετραμμένα, Ἱσπανίας δηλονότι καὶ Βρεττανίας πρὸς βορρᾶν ἄνεμον. Θούλη δέ, ὅσα γε ἀνθρώπους εἰδέναι, ἐς ὠκεανοῦ τοῦ πρὸς τῇ ἄρκτῳ τὰ ἔσχατα κεῖται. ἀλλὰ τὰ μὲν ἀμφὶ Βρεττανίᾳ καὶ Θούλῃ ἐν τοῖς ἔμπροσθέν μοι λόγοις 5
B 560 ἐρρήθη· Βριττίαν δὲ τὴν νῆσον ἔθνη τρία πολυανθρωπότατα ἔχουσι,
V 217 βασιλεύς τε εἷς αὐτῶν ἑκάστῳ ἐφέστηκεν. ὀνόματα δὲ κεῖται τοῖς ἔθνεσι τούτοις Ἀγγίλοι τε καὶ Φρίσσονες καὶ οἱ τῇ νήσῳ ὁμώνυμοι Βρίττωνες. τοσαύτη δὲ ἡ τῶνδε τῶν ἐθνῶν πολυανθρωπία φαίνεται οὖσα ὥστε ἀνὰ πᾶν ἔτος κατὰ πολλοὺς ἐνθένδε μετανιστάμενοι ξὺν 10 γυναιξὶ καὶ παισὶν ἐς Φράγγους χωροῦσιν. οἱ δὲ αὐτοὺς ἐνοικίζουσιν ἐς γῆς τῆς σφετέρας τὴν ἐρημοτέραν δοκοῦσαν εἶναι, καὶ ἀπ' αὐτοῦ
H 350 τὴν νῆσον προσποιεῖσθαί φασιν. ὥστε ἀμέλει οὐ πολλῷ πρότερον ὁ Φράγγων βασιλεὺς ἐπὶ πρεσβείᾳ τῶν οἱ ἐπιτηδείων τινὰς παρὰ βασιλέα

1. βρυτία *eC* βριτία *D* 2. δ' ἐς] *L, B* δὲ ἐς *gli altri codd., HP* καὶ *per* ἐς *D* γαλίας *D* 3. βριτανίας *D* βρετανίας *W (corr.) L* συρὰν *D* βορρὰν *Wmf* 4. τῇ πρὸς τῇ *WvV* 5. βρεττανίαν καὶ θούλην *MeCmf (corr. in marg.), HP* βρετανίας καὶ θούλην *(sic) D* ἐν *om. WvVf (agg. in marg.)* 6. βρυτίαν *eC* βριτίαν *D* 7. ἐφέστηκε *WvVL* καὶ ὄνομα κεῖται *Wf (marg.) L* καὶ ὀνόματα κεῖται *vV* 8. τουτούτοις *(espunto* του-*) M* φρίξωνες *MeCDmf, H* καὶ ἡ γῆ νήσω *D* 9. βρύτωνες *eC* βρίττων ἐς *D* βρίττονες *WvVL* 11. παισὶ *D* 12. εἶναι *om. D* 13. φασὶ *D* 14. οἱ *om. D*

dal continente. La Brittia invece giace a tergo di quella parte della Gallia che guarda l'Oceano, a settentrione quindi della Spagna e della Brettagna. Thule poi, per quanto se ne sa, giace all'ultimo confine dell' Oceano settentrionale. Tre popolazioni numerosissime abitano la Brittia, ognuna delle quali ha il suo re. Queste popolazioni portano il nome di Angli, di Frisoni e di Brettoni; denominati questi dall' isola stessa. E tanto grande è il numero di ciascuna di esse che ogni anno ben molti colle mogli e coi figli si parton di là, emigrando presso i Franchi; e questi assegnan loro da abitare quella parte del loro paese che più sembra scarseggi di abitanti; ond' è che essi considerano l' isola come di lor pertinenza. Infatti già poco prima il re dei Franchi, avendo mandato alcuni famigliari suoi in ambasceria

Ἰουστινιανὸν ἐς Βυζάντιον στείλας ἄνδρας αὐτοῖς ἐκ τῶν Ἀγγίλων P 621
ξυνέπεμψε, φιλοτιμούμενος ὡς καὶ ἡ νῆσος ἥδε πρὸς αὐτοῦ ἄρχεται.
τὰ μὲν οὖν κατὰ τὴν Βριττίαν καλουμένην νῆσον τοιαῦτά ἐστιν.

Τῶν δὲ Οὐάρνων ἀνήρ τις οὐ πολλῷ πρότερον, Ἑρμεγίσκλος ὄνομα,
5 ἦρχεν. ὅσπερ τὴν βασιλείαν κρατύνασθαι διὰ σπουδῆς ἔχων, τὴν
Θευδιβέρτου ἀδελφὴν τοῦ Φράγγων ἄρχοντος γυναῖκα γαμετὴν ἐποιήσατο.
ἐτετελευτήκει γὰρ αὐτῷ ἔναγχος ἡ πρότερον ξυνοικοῦσα γυνή, παιδὸς
ἑνὸς γενομένη μήτηρ, ὃν καὶ ἀπέλιπε τῷ πατρὶ Ῥαδίγερα ὄνομα, ᾧ
δὴ ὁ πατὴρ παρθένου κόρης, γένους Βριττίας, ἐμνήστευσε γάμον, ἧσπερ
10 ἀδελφὸς βασιλεὺς ἦν τότε Ἀγγίλων τοῦ ἔθνους, χρήματα μεγάλα τῷ
τῆς μνηστείας αὐτῇ δεδωκὼς λόγῳ. οὗτος ἀνὴρ ξὺν Οὐάρνων τοῖς
λογιμωτάτοις ἐν χωρίῳ τῳ ἱππευόμενος ὄρνιν τινὰ ἐπὶ δένδρου τε καθη- B 561
μένην εἶδε καὶ πολλὰ κρώζουσαν. εἴτε δὲ τῆς ὄρνιθος τῆς φωνῆς ξυνεὶς

1. ἀγγέλων *f (marg.), Reg.* 3. βρυτίαν *e C* βριτίαν *D* ἐστι *W v V*
4. οὐάρων *W v V f (marg.), Reg.* ἑρμεγίσκικλος *M C D m f, H* |ρμεγισκλος *v*
μέγισκλος *W (prec. da segno di lac.) f (marg.) L* 5. ἦρχε *W* ὥσπερ *W (corr.) v*
6. θευδεβέρτου *W v V* 7. ἐτετελευτήκει] *L, B* τετελευτήκει *M C m f, H P*
τελευτήκει *D* ἐτελευτήκει *W v V* πεδὸς *W* 8. ἀπέλειπε *W L* ῥαδισὶν *M*
C D m f, H ῥάδιγι *W* ῥάδιγιν *v V* ῥάγιδι *f (marg.) L* 9. βρυτίας *M C*
βρηττίας *D* γάμῳ *M C m f (corr. in marg.), H* ἧπερ *f (corr. in marg.), H*
10. ἀγγέλων *f (marg.) L* 12. τὸ *D* τῷ *W* 12-13. καθήμενον *W v V f (marg.),*
Reg. 13. κράζουσα *D* κράζοντα *W f (marg.), Reg.* κρώζοντα *v V* τοῦ *per* τῆς
innanzi a ὄρνιθος *W v f (marg.), Reg.*

presso l' imperatore Giustiniano fece andare insiem con essi degli Angli, ostentando così come anche quell' isola stesse sotto il suo comando. E tanto sia detto circa l' isola Brittia.

Poco tempo innanzi era stato re dei Varni un tale di nome Ermegisclo. Costui, nell' intento di consolidare il suo regno, avea preso in moglie la sorella di Theodiberto, re dei Franchi, poichè eragli morta di recente la prima sua moglie da cui aveva avuto un sol figlio. Questi, di nome Radiger, rimasto col padre, fu disposato da lui ad una fanciulla brittia di nazione, di cui il fratello era allora re degli Angli; ed a lei, per gli sponsali, Ermegisclo diede gran somma di danaro. Costui poi, mentre andava cavalcando per un certo campo insieme ai maggiorenti varni, scorse un uccello che, appollaiato su di un albero, forte strideva; e sia

εἴτε ἄλλο μέν τι ἐξεπιστάμενος, ξυνεῖναι δὲ τῆς ὄρνιθος μαντευομένης
τερατευσάμενος, τοῖς παροῦσιν εὐθὺς ἔφασκεν ὡς τεθνήξεται τεσσα-
ράκοντα ἡμέραις ὕστερον. τοῦτο γὰρ αὐτῷ τὴν τῆς ὄρνιθος δηλοῦν
πρόρρησιν. « Ἐγὼ μὲν οὖν προορώμενος » ἔφη « ὅπως δὴ ὡς ἀσφα-
« λέστατα ξὺν τῇ ἀπραγμοσύνῃ βιώσεσθε, τοῖς τε Φράγγοις ἐς κῆδος 5
« ξυνῆλθον, γυναῖκα ἐνθένδε τὴν ἐμοὶ ξυνοικοῦσαν ἐπαγαγόμενος, καὶ
« τῷ παιδὶ τῷ ἐμῷ περιβέβλημαι τὴν Βριττίαν μνηστήν. ἀλλὰ νῦν,
« ἐπεὶ ἐγὼ μέν γε τεθνήξεσθαι ὑποτοπάζω αὐτίκα μάλα, εἰμὶ δὲ ἄπαις
« ἄρσενός τε καὶ θήλεος γόνου, ὅσα γε τὰ ἐκ γυναικὸς τῆσδε, πρὸς
« δὲ καὶ ὁ παῖς ἀνυμέναιός τε καὶ ἄνυμφος ἔτι νῦν ἐστι, φέρε ὑμῖν 10
« ἐπικοινώσωμαι τὴν ἐμὴν διάνοιαν, καὶ εἴ τι ὑμῖν οὐκ ἀξύμφορον δόξειεν
« εἶναι, ὑμεῖς δὲ αὐτήν, ἐπειδὰν ἀφίκωμαι τάχιστα ἐς τὸ μέτρον τοῦ

1. τοι *per* τι *DWvV* τοῦ – μαντευομένου *WvV*, *Reg.* 2. ὥς τε θνήξοντα *W* ὡς τεθνήξοντα *v* 3. ἡμέραν *D* ἡμέρας *L* τοῦ *per* τῆς *WvV f (marg.)*, *Reg.* 4. προσρώμενος *f (corr.)* 5. βιώσησθε *MCDWvVmf*, *HP* 6. συνῆλθον *WvVL* ἐπαγαγώμενος *D* ἐπαγόμενος *L* 7. τῷ 'μῷ *WvV* περιβέβληται *D* βρυτίαν *C* βριτίαν *D* 8. μέν γε μὲν *L* μὲν ἐμὲ *Dindorf* μέν γε *om. MCDmf (agg. in marg.)* γε *om. WvV* ὑποτοπάζων *D* δὴ μάλα *WvVL* 9. ὡς ἄγε τὰ *WvV* γε *om. MCDmf (agg. in marg.)* ἐκ *om. WvVL; in parent. f* 9-10. πρὸς δὲ *om. D* 10. ἀνυμεναιώς *M* ἀνυμέναι ὥστε *D* ἀνυμένεός *WvV* ἀνυμέναιώς *mf (corr.)* 11. ἐπικοινώσωμαι] *B* ἐπικοινώσωμεν *L* ἐπικοινώσομαι *gli altri codd.*, *HP* οὗτοι *per* εἴ τι *WvV (in rasura di m. rec.) L* τοι ὑμ. οὐκ ἀξύμφορος *f (marg.)* ἀξύμφωρον *D* ἀσύμφορος *WvV* ἀσύμφορον *L*

ch' egli intendesse il canto dell' uccello, sia che sapendo d' altronde
la cosa fingesse di capire l' augurio di quello, tosto disse ai presenti
che fra quaranta giorni sarebbe morto, poichè tanto dall' uccello
eragli predetto: « Invero », soggiunse, « perchè voi viviate in si-
« curezza e senza pensieri, io ho provveduto imparentandomi coi
« Franchi, dai quali presi quella moglie che ho meco, e destinando
« a mio figlio la sposa brittia. Ora però, poichè sento che
« dovrò fra poco morire, e dalla moglie presente non ho figli nè
« maschio nè femmina, ed inoltre il figlio che ho non è pur anco
« ammogliato nè disposato, voglio communicarvi il mio pensiero,
« e se a voi sembra che questo vi convenga, voi, giunto che io sia al
« termine della vita, vogliate in buon' ora farlo vostro e mandarlo

« βίου, τύχῃ ἀγαθῇ κατακυροῦντες διαπεραίνετε. οἶμαι τοίνυν Οὐάρνοις
« ξυνοίσειν τὴν κηδείαν ἐς Φράγγους μᾶλλον ἢ ἐς τοὺς νησιώτας ποιεῖ-
« σθαι. Βρίττιοι μὲν γὰρ οὐδὲ ὅσον ἐπιμίγνυσθαι ὑμῖν οἷοί τέ εἰσιν,
« ὅτι μὴ ὀψέ τε καὶ μόλις· Οὔαρνοι δὲ καὶ Φράγγοι τουτὶ μόνον τοῦ
5 « Ῥήνου τὸ ὕδωρ μεταξὺ ἔχουσιν, ὥστε καὶ αὐτοὺς ἐν γειτόνων μὲν ὡς
« πλησιαίτατα ὄντας ἡμῖν, ἐς δυνάμεως δὲ κεχωρηκότας μέγα τι χρῆμα B 562
« ἐν προχείρῳ ἔχειν εὖ ποιεῖν τε ὑμᾶς καὶ λυμαίνεσθαι, ἡνίκα ἂν αὐτοῖς
« βουλομένοις εἴη. λυμανοῦνται δὲ πάντως, ἢν μὴ τὸ κῆδος αὐτοῖς
« ἐμπόδιον ἔσται. βαρεῖα γὰρ φύσει τοῖς ἀνθρώποις ὑπερβάλλουσα αὐ-
10 « τοὺς τῶν πλησιοχώρων δύναμις γίνεται καὶ πρὸς ἀδικίαν ἑτοιμοτάτη,
« ἐπεὶ γείτονι δυνατῷ ῥᾴδιον ἐπὶ τοὺς πέλας οὐδὲν ἀδικοῦντας ἐκπορί-
« ζεσθαι πολέμου αἰτίας. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει, παρείσθω μὲν
« ὑμῖν τοῦ παιδὸς τοῦδε νησιῶτις μνηστὴ χρήματα πάντα, ὅσα παρ' ἡμῶν

1. ἀγαθὴ κατακηροῦντες *D* διαπεραίνεται *W (corr.)* οὐάρνους *MCf (corr.)* οὐ ἄρνους *m* 2-3. ποιῆσθαι *W* 3. βρύτιοι *C* 4. ὄψεται *(sic) per* ὀψέ τε *WvV* 5. καὶ *om. vVf (agg. in marg.)* ἐγγειτόνων *MCDm f (corr.)* ὡς *om. D* 6. ὑμῖν *WvVL* δὲ καὶ χωρηκότας *W* 7. ἡμᾶς *MCDmf, P* 8. βουλομένοι *MDmf (corr.)* 9. βαρεία *V* 10. ἑτοιμητάτη *W* 11. δυνατῶ *(ῶ in rasura) M* 12. ὅτι *f (di sec. m.), P* παριστῶμεν *WvVf (marg.), H (id.)* παρίστω μὲν *L* 13. νισιῶτις *W*

« ad effetto. Ordunque io penso che ai Varni meglio convenga « imparentarsi coi Franchi che cogli isolani. Ed invero i Brittii « non possono aver rapporti con noi se non tardamente e con dif- « ficoltà. Dai Varni invece i Franchi non son divisi se non per « questa acqua del Reno; talchè sendo questi a voi vicinissimi ed « arrivati a grande potenza, è facile ad essi fare a noi quando vo- « gliano del bene o del male; e vi faran certamente del male quando « non siavi un legame di parentela che li trattenga. Imperciocchè « è in natura che agli uomini riesca incomoda la superior potenza « dei vicini, pronta com' è sempre alla ingiusta offesa; dacchè facile « riesce a chi è potente procacciarsi pretesti di guerra contro i vicini « che non fecergli alcun torto. Stando adunque così le cose, sia « da voi disdetta la isolana fidanzata a questo mio figlio, rilasciando « ad essa tutto il denaro che da noi per questi sponsali ricevette,

« κεκομισμένη τούτου δὴ ἕνεκα ἔτυχε, τῆς ὕβρεως ἀπενεγκαμένη μισθὸν,
« ᾗ νόμος ἀνθρώπων ὁ κοινὸς βούλεται· Ῥαδίγερ δὲ ὁ παῖς ξυνοικι-
« ζέσθω τῇ μητρυιᾷ τὸ λοιπὸν τῇ αὑτοῦ, καθάπερ ὁ πάτριος ἡμῖν ἐφίησι
« νόμος ».

P 622 Ὁ μὲν ταῦτα εἰπὼν τῇ τεσσαρακοστῇ ἀπὸ τῆς προρρήσεως ἡμέρᾳ 5
νοσήσας τὴν πεπρωμένην ἀνέπλησεν. ὁ δὲ τοῦ Ἑρμεγίσκλου υἱὸς,
Οὐάρνων τὴν βασιλείαν παραλαβὼν, γνώμῃ τῶν ἐν βαρβάροις τοῖσδε
λογίμων ἀνδρῶν ἐπιτελῆ ἐποίει τὴν τοῦ τετελευτηκότος βουλὴν καὶ τὸν
γάμον αὐτίκα τῇ μνηστῇ ἀπειπὼν τῇ μητρυιᾷ ξυνοικίζεται. ἐπειδὴ δὲ
ταῦτα ἡ τοῦ Ῥαδίγερος μνηστὴ ἔμαθεν, οὐκ ἐνεγκοῦσα τὴν τοῦ πράγ- 10
ματος ξυμφορὰν, τίσασθαι αὐτὸν τῆς ἐς αὐτὴν ὕβρεως ὥρμητο. τίμιον
γὰρ οὕτω τοῖς ἐκείνῃ βαρβάροις σωφροσύνη νομίζεται εἶναι ὥστε δὴ
B 563 μόνου παρ' αὐτοῖς ξυντετυχηκότος ὀνόματος γάμου, μὴ ἐπιγενομένου

1. κεκοσμισμένη *W* 2. ῥαδισὶς *MCDmf* ῥάδιγις *WvVf (marg.)* ῥαδίγις *Reg.* 3. τολοιπὸν *MCWvmf* 5. προρήσεως ἡμέραν *D* 6. ἑρμιγίσκλου *WvV* ἑρμισίσκλου *f (marg.) L* 7. οὐράνων *f (marg.) L* 7-8. « τοῖσδε τῶν λογίμων *vel* ἐλλογίμων » *f (marg.)* 8. τῶν ἐλογίμων *W* ἐλλογίμων *L* ἐπιτελεῖ *D* 9. ἀπειπὼν] *WvVf (marg.), Reg.* ἀπεῖπε καὶ *gli altri codd. e le edd.* μητριᾷ *D* 10. ῥαδίγερδος *MCDmf, H* ῥάδιγος *W* ῥαδίγιδος *vV* ῥάβιγος *f (marg.) L* τῇ *per* τὴν *W* 11. συμφορὰν *WvVL* τίσεσθαι *WL* εἰς *WvV* ἑαυτῆς *per* ἐς αὐ. *MCDmf, H* εἰς αὐτὴν *f (marg.), H (id.)* 12. γὰρ *om. D* σωφροσύνην νομίζεσθαι *f (corr. in marg.), H* κομίζεται *(sic) W* 13. ξυνπαρ' *per* παρ' *(sic) Wv* ξυν^παρ' *(*παρ' *soprasc. di pr. m.) V* ὀνόματος *om. L*

« in ricompensa dell' onta che le vien fatta, secondo richiede la « comun legge degli uomini; ed il mio figlio Radiger prenda in « moglie la propria matrigna secondo che le patrie leggi per- « metton di fare ».

Dette queste cose, colui nel quarantesimo giorno dalla predizione ammalò e morì. Ed il figlio di Ermegisclo, succedutogli nel regno dei Varni per volere dei maggiorenti fra quei barbari, compiè la volontà del defunto; disdetta tosto la sposa promessa, si maritò colla matrigna. La fidanzata però di Radiger all' udir questo, insofferente del brutto fatto, ardeva di far su di lui vendetta dell' onta recatele; poichè la pudicizia è fra quei barbari rispettata al punto che pronunziata che sia una volta la parola di matrimonio, se poi non si effettui, alla donna ne riman taccia

τοῦ ἔργου, δοκεῖ πεπορνεῦσθαι γυνή. τὰ μὲν οὖν πρῶτα πέμψασα πρὸς αὐτὸν ἐπὶ πρεσβείᾳ τῶν οἱ ἐπιτηδείων τινὰς ἀνεπυνθάνετο ὅτου δὴ ὑβρίσειεν ἐς αὐτὴν ἕνεκα, οὔτε πεπορνευμένην οὔτε τι ἄλλο εἰργασμένην εἰς αὐτὸν ἄχαρι. ἐπεὶ δὲ ἀνύτειν οὐδὲν ταύτῃ ἐδύνατο, τὸ ἀρρενωπὸν 5 ἀνελομένη ἐπὶ πολέμια ἔργα ἐχώρει. ναῦς οὖν αὐτίκα τετρακοσίας ἀγείρασα, στράτευμά τε αὐταῖς ἐνθεμένη οὐχ ἧσσον ἢ μυριάδων δέκα μαχίμων ἀνδρῶν, αὐτὴ ἐξηγεῖτο ἐπὶ τοὺς Οὐάρνους τῇ στρατιᾷ ταύτῃ. ἐπήγετο δὲ καὶ τῶν ἀδελφῶν τῶν ἑαυτῆς ἕνα, ξυνδιοικησόμενον αὐτῇ τὰ πάροντα, οὐχ ὡς μέντοι τὴν βασιλείαν ἔχειν, ἀλλ' ἔτι ἐν ἰδιώτου 10 τελοῦντα μοίρᾳ. ἄλκιμοι δέ εἰσι πάντων μάλιστα βαρβάρων ὧν ἡμεῖς ἴσμεν οἱ νησιῶται οὗτοι, ἔς τε τὰς ξυμβολὰς πεζοὶ ἴασιν. οὐ γὰρ ὅσον εἰσὶ τοῦ ἱππεύεσθαι ἀμελέτητοι, ἀλλ' οὐδὲ ἵππον ὅ τι ποτέ ἐστιν ἐπίστασθαι σφίσι ξυμβαίνει, ἐπεὶ ἵππον ἐν ταύτῃ τῇ νήσῳ οὐδ' ὅσα κατ' εἰκόνα τεθέανται. οὐ γάρ ποτε τὸ ζῷον τοῦτο ἔν γε Βριττίᾳ γεγονὸς

V 218

II 351

1. πεπορνᾶσθαι *Dmf* 2. οἱ *om. D* οὗτο *per* ὅτου *W* 4. αὐτῷ *MCDmf (corr. in marg.), P* ἀνύτειν] *B* ἀνύττειν *i codd., HP* ταῦτα οὐδαμῶς *per* οὐδὲν ταύτῃ *WvVf (marg.), Reg.* ἀρενωπὸν *DWvV* 5. ἐπὶ] *i codd., HP* ἐπὶ τὰ *L, B* 6. στρατεύματά *MCDmf, HP* 7. αὐτῇ *DW (corr.) v* οὐράνους *L* 8. ὑπήγετο *WvVL* αὐτῆς *WvVL* ξυνδιοικησομένῳ *D* 9. ὅς *MCDmf, HP* εἶχεν *MCDmf, HP* ἀλλά γε τὸν *per* ἀλλ' ἔτι *MCDmf (corr. in marg.), HP* 10. μοῖραν *WvV* βάρβαροι *V (corr. di pr. m.)* ὧν *om. WvV* 11. ἴσμαι *D* 12. ἀμελέτηται *C* εἶπον *per* ἵππ. *W* 13. σφίσιν *D* οὐδὲ *WvV* 14. θεῶνται *WvVf (marg.), Reg.* βρυτία *CD*

di scostumata. Dapprima adunque, spediti a lui in messaggio alcuni famigliari suoi, chiedevagli perchè mai così male la trattasse, essa, che nè impudicizia avea commesso, nè altro avea fatto che potesse spiacergli. Ma poichè con questo non potè nulla ottenere, virilmente diedesi ad apprestar guerra. Tosto, raccolte quattrocento navi e messivi sopra almeno diecimila uomini, essa stessa menò quell' esercito contro i Varni; e prese uno dei propri fratelli seco, perchè insieme ad essa amministrasse le cose, non già in qualità di re, ma tuttavia come privato. Questi isolani sono i più forti fra tutti i barbari a nostra conoscenza, ed alla battaglia vanno a piedi, poichè non solamente sono ignari del cavalcare, ma neppur sanno che cosa sia un cavallo, non avendone mai visto alcuno in quell' isola, neppur dipinto, chè di questi animali mai

φαίνεται. εἰ δέ ποτε αὐτῶν τισιν ἐπὶ πρεσβείᾳ ἢ ἄλλου του ἕνεκα Ῥωμαίοις ἢ Φράγγοις ἢ ἄλλῳ τῳ ἵππους ἔχοντι ἐπιχωριάσαι ξυμβαίη, ἐνταῦθά τε ἵπποις ὀχεῖσθαι αὐτοῖς ἐπάναγκες εἴη, αναθρώσκειν μὲν ἐπ' αὐτοὺς οὐδεμιᾷ μηχανῇ ἔχουσιν, ἕτεροι δὲ αὐτοὺς μετεωρίζοντες B 564 ἄνθρωποι ἐπὶ τοὺς ἵππους ἀναβιβάζουσιν, ἀπαλλάσσεσθαί τε βουλομένους ἐντεῦθεν αὖθις αἴροντες ἐπὶ τῆς γῆς κατατίθενται. οὐ μὴν οὐδὲ Οὔαρνοι ἱππόται εἰσὶν, ἀλλὰ πεζοὶ καὶ αὐτοὶ ἅπαντες. οὗτοι μὲν οὖν οἱ βάρβαροι τοιοίδε εἰσί. περίνεως δὲ οὐκ ἦν ἐν τούτῳ τῷ στόλῳ, ἀλλὰ αὐτερέται πάντες. οὐδὲ ἱστία τούτοις δὴ τοῖς νησιώταις τυγχάνει ὄντα, ἀλλ' ἐρέσσοντες ἀεὶ ναυτίλλονται μόνον. 10

Ἐπειδὴ δὲ κατέπλευσαν ἐς τὴν ἤπειρον, παρθένος μὲν, ἥπερ αὐτῶν ἦρχε, χάρακα ἐχυρὸν πηξαμένη παρ' αὐτὴν μάλιστα τὴν ἐκβολὴν ποταμοῦ Ῥήνου ξὺν ὀλίγοις τισὶν αὐτοῦ ἔμεινε, παντὶ δὲ τῷ ἄλλῳ στρατῷ τὸν ἀδελφὸν ἐπὶ τοὺς πολεμίους ἐξηγεῖσθαι κελεύει. ἐστρατοπεδεύοντο

2. φάγγοις *W* τῶ *WvV* ἐπιχωριάσασθαι *WvVf(marg.)L* 3. ἵππους *MCDmf* ἐπάνεγκες *W* 4. ἔχουσι *W* 5. ἀναβιβάζουσι *D* ἀπαλλάσεσθαι *W* 5-6. βουλομένοις *MCDmf (corr.)* 6. ἐνθένδε *WvV* 8. ἀλλ' *WvV* 9. ἀντέρεται *D* δὴ τῆς νισιώταις *D* 10. ναυτίλονται *DWvV* 11. ἐς *om. W* εἰς *vV* αὔτῳ *D* 12. χαράκωμα *WvVf(marg.)L* 13. τισὶ *D* ἔμεινε] *Reg., B* ἀπέμεινε *MCD(in marg.* γρ. ἀπέμεινα*) mf(corr.), HP* ἔμενε *WvVL* στρατῷ ἄλλῳ *D*

non pare ve ne fosse nella Brittia. Che se alcuna volta avviene a taluni di essi di trovarsi per ambasceria o per altro fra Romani o Franchi od altra gente che abbia cavalli, e sian costretti a cavalcare, non sono affatto capaci di salirvi sopra, ed altri debbon sollevarli e collocarveli; e quando poi vogliono scendere, presili sù li depongono a terra. Del resto neppure i Varni son cavalcatori, ma anch' essi van tutti a piedi. Tali sono questi barbari. Ed in quella flotta non eravi servizio nautico, ma tutti remigavano per conto proprio; nè questi isolani adoperano vele, ma navigano solamente a forza di remi.

Approdati adunque che furono a terra, la donzella che li comandava, piantato un forte steccato alla foce stessa del Reno, si tenne colà con alcuni pochi e commise al fratello di menare tutto il restante esercito contro i nemici. I Varni stavano allora

δὲ Οὔαρνοι τότε τῆς τε ὠκεανοῦ ἠϊόνος καὶ Ῥήνου ἐκβολῆς οὐ πολλῷ ἄποθεν. οὗ δὴ ἀφικομένων κατὰ τάχος Ἀγγίλων ξυνέμιξαν μὲν ἀμφότεροι ἐς χεῖρας ἀλλήλοις, ἡσσῶνται δὲ κατὰ κράτος Οὔαρνοι. καὶ αὐτῶν πίπτουσι μὲν πολλοὶ ἐν τούτῳ τῷ πόνῳ, οἱ λοιποὶ δὲ ξὺν τῷ βασιλεῖ
5 ἐς ὑπαγωγὴν τρέπονται ἅπαντες, οἵ τε Ἀγγίλοι τὴν δίωξιν ἐπ᾽ αὐτοῖς δι᾽ ὀλίγου πεποιημένοι, ᾗ θέμις πεζοῖς, εἰς τὸ στρατόπεδον ἀπεχώρησαν. P 623 οὕσπερ ἐκάκιζεν ἐπανήκοντας ἐς αὐτὴν ἡ παρθένος, τῷ τε ἀδελφῷ ἐλοιδορεῖτο πικρότατα, οὐδὲν τῇ στρατιᾷ λόγου ἄξιον ἰσχυριζομένη πεπρᾶχθαι, ἐπεὶ μὴ ἀγάγοιεν αὐτῇ ζῶντα Ῥαδίγερα. καὶ αὐτῶν ἀπολεξαμένη τοὺς
10 μάλιστα μαχιμωτάτους εὐθὺς ἔστειλεν, ἀπαγγείλασα δορυάλωτον ἀγαγεῖν τὸν ἄνδρα μηχανῇ πάσῃ. οἱ δὲ τὴν αὐτῆς ἐπιτελοῦντες ἐπίταξιν περιήρχοντο διερευνώμενοι ξύμπαντα ἐς τὸ ἀκριβὲς τὰ ἐκείνῃ χωρία, ἕως B 565 ἐν ὕλῃ ἀμφιλαφεῖ κρυπτόμενον Ῥαδίγερα εὗρον· δήσαντές τε αὐτὸν τῇ παιδὶ ἀπεκόμισαν. καὶ ὁ μὲν αὐτῆς ἐν ὀφθαλμοῖς εἱστήκει, τρέμων

1. δὲ *om. D* ἠϊόνος] *WvVf (marg.) L* ἠόνος *gli altri codd. e le edd.* 2. ἀγγείλων *WvVf (marg.) L* 5. ἀγγῖλοι *Cmf (corr.)* ἐπ᾽ αὐτοὺς *WvVL* 6. ἐς *WvV* 7. οἵσπερ *MCDmf (corr.)* 8. πεπράχθαι *WvV* 9. ἀγάγη *D* ῥάδιγιν *WvVf (marg.) L* 10. δορυάλωτον] *i codd., HP* δοριάλωτον *B* 11. ὑποτελῶντες *WvV* ὑποτελοῦντες *L* 11-12. περήρχοντο *D* 12. ἀκρηβὲς *D* 13. ὕλοις *(sic) MDmf (corr.)* ἀμφιλαφῆ *D* ῥάδιγιν *WvVf (marg.) L* 14. αὐτοῖς *L*

accampati non molto lungi dalla spiaggia dell' Oceano e dalla foce del Reno. Ivi giunti prestamente gli Angli azzuffaronsi con coloro, ed i Varni ebbero di molto la peggio. Molti di essi vi rimasero uccisi e i rimanenti, insieme col re, si volsero tutti in fuga; gli Angli, dopo averli inseguiti per un poco, come si può a piedi, tornaronsene al campo. Al ritorno molto li redarguì la donzella, e suo fratello aspramente rimproverò, perchè, com' essa diceva, nulla d' importante erasi in quella pugna compiuto, dacchè non aveanle menato vivo Radiger. E scelti fra di loro i più bellicosi, tosto li mandò con ordine di menare a lei prigioniero ad ogni costo quell' uomo. Coloro, eseguendo il comando, si diedero attorno scrutando minutamente tutti quei luoghi, finchè trovaron Radiger nascosto in una folta selva, e legatolo lo menarono alla fanciulla. Colui stavasi al cospetto di lei tremante e

τε καὶ τεθνήξεσθαι αὐτίκα δὴ μάλα ὑποτοπάζων θανάτῳ οἰκτίστῳ· ἡ
δὲ αὐτὸν ἐκ τοῦ παραδόξου οὔτε ἀπέκτεινεν οὔτε τι ἄλλο ἄχαρι ἔδρασεν,
ἀλλὰ ὀνειδίσασα τὴν ἐς αὐτὴν ὕβριν ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὅτου
δὴ ἕνεκα ἠλογηκὼς τὰ ξυγκείμενα ἑτέρᾳ γυναικὶ ἐς εὐνὴν ξυνέλθοι, καὶ
ταῦτα οὐ πεπορνευμένης αὐτῷ τῆς μνηστῆς. καὶ ὃς τὴν αἰτίαν ἀπο- 5
λογούμενος τὰς τοῦ πατρὸς ἐντολὰς καὶ τὴν τῶν ἀρχομένων σπουδὴν
προὔφερεν, ἱκεσίους τε προὔτείνετο λόγους καὶ λιταῖς ἀνέμισγε τὴν ἀπολο-
γίαν πολλαῖς, ἐς τὴν ἀνάγκην ἀναφέρων τὸ ἔγκλημα. βουλομένῃ τε αὐτῇ
ξυνοικισθήσεσθαι ὡμολόγει καὶ τὰ οὐκ ἐν δίκῃ τὸ πρότερόν οἱ αὐτῷ
πεπραγμένα τοῖς ἐπιγενησομένοις ἰάσεσθαι. ἐπεί τε τὴν παῖδα ταῦτα 10
ἤρεσκε, καὶ τῶν τε δεσμῶν ἀφεῖτο Ῥαδίγερ τῆς τε ἄλλης φιλοφροσύνης
ἠξίωτο, ἀποπέμπεται μὲν τὴν Θευδιβέρτου εὐθὺς ἀδελφήν, τήν τε Βριτ-
τίαν ἐγήματο. ταῦτα μὲν τῇδε κεχώρηκεν.

1. καὶ *om. D* ὑποτωπάζων *C* 2. αὐτῶν *D* 3. ἀλλὰ] *WvVL* ἀλλὰ καὶ *gli altri codd. e le edd.* ὀνειδήσασα *D* εἰς *D* 4. ἠλογικὼς *MCmf, HP* ἠλογικὼς *D* 6. ἀρχομένων] *WvVL* ἀρχόντων *gli altri codd. e le edd.* 9. ξυνοικίσεσθαι *MCDmf, HP* ἃ *per* τὰ *WvV* ἐκδίκεται *per* ἐν δίκῃ τὸ *WvV* (ἐκδίκηται) 10. ἐπιγενησομένοις ἰάσεσθαι] *WvVL, van Herwerden* ἐπιγινομένοις ἰάσασθαι *gli altri codd. e le edd.* ἐπί *D* δὲ *per* τε *WvVL* 11. καὶ *om. WvVL; in parent. f* ῥάδιγις *WvVf (marg.) L* 12. δὲ *per* μὲν *D* θευδεβέρτου *WvVL* 12-13. βρυτίαν *C* βριτίαν *D*

convinto che presto morirebbe di mala morte. Colei invece, contro ogni aspettazione, nè lo uccise, nè fecegli nulla di male, ma rinfacciandogli l' onta a lei recata, gli chiese perchè mai, disdetto l' impegno preso, si fosse ammogliato con altra donna, mentre la sua fidanzata non avealo offeso con impudica condotta. Colui produsse a sua discolpa l' ordine paterno e le insistenze dei sudditi, unendo alla sua difesa molte parole supplichevoli come quegli che dalla necessità era stato indotto a mancare; e se a lei piacesse, prometteva di sposarla e di riparare colla sua condotta avvenire la ingiusta azione già da lui commessa. Questo accettò la fanciulla, e Radiger fu tolto dai ceppi e trattato con ogni benignità. La sorella di Teodiberto fu da lui tosto rimandata e sposata la Brittia. A tanto ne erano colà le cose.

Ἐν ταύτῃ δὴ τῇ Βριττίᾳ νήσῳ τεῖχος ἐδείμαντο μακρὸν οἱ πάλαι
ἄνθρωποι, δίχα τέμνον αὐτῆς πολλήν τινα μοῖραν, ὅτι ἡ γῆ καὶ ὁ ἀὴρ
καὶ τἄλλα πάντα οὐχ ὁμοίως ἐφ' ἑκάτερά ἐστι. τὰ μὲν γὰρ τοῦ τείχους B 566
πρὸς ἀνίσχοντα ἥλιον εὐεξία τε ἀέρων ἐστὶ ξυμμεταβαλλομένη ταῖς ὥραις, V 219
5 θέρους μὲν μετρίως ἀλεεινή, ψυχεινὴ δὲ χειμῶνος. καὶ ἄνθρωποι μὲν
πολλοὶ ᾤκηνται κατὰ ταὐτὰ βιοτεύοντες τοῖς ἄλλοις ἀνθρώποις, καὶ τά
τε δένδρα καρποῖς ἐν ἐπιτηδείῳ γινομένοις ὡραῖον ἀνθεῖ, τά τε λήια
τῶν ἄλλων οὐδὲν καταδεέστερον τέθηλεν. ἀλλὰ καὶ ὕδασιν ἡ χώρα
ἐναβρυνομένη διαρκῶς φαίνεται. πρὸς δύοντα δὲ πᾶν τοὐναντίον, ὥστε
10 ἀμέλει ἀνθρώπῳ μὲν οὐδὲ ἡμιώριον δυνατόν ἐστιν ἐνταῦθα βιῶναι, ἔχις
δὲ καὶ ὄφεις ἀναρίθμητοι καὶ ἄλλων θηρίων παντοδαπὰ γένη διακεκλή-

1. βρυτία *eC* κριτία *(sic) D* 2. δίχνα *Mmf (corr.)* τέμνων *f (corr.)* μοῖρα *D* 2-3. μοῖραν. τοῦ δὲ τείχους ὅ τε ἀὴρ καὶ ἡ γῆ καὶ τὰ ἄλλα πάντα *W (δε) vV* 3. ἑκατέρει *(sic) W* ἑκατέρα *V (corr.)* ἐστὶν *e* ἔστιν *C* 4. ἐστὶν *e* συμμεταβαλομένη *W (corr.)* συμμεταβαλλ. *vVL* 5. μετρίως *om. MeCDmf* ψυχινὴ δὲ χ. *e* ψύχειν ἡ δὲ χ. *Wv* ψύχειν ἡ δὲ χ. *V* ψύχειν μωνος *L* ψυχρὰ δὲ χ. *Scalig.* 6. πολὺ ὤρηνται *W* πολυώρηνται *vVL* καὶ τὰ *per* κατὰ *W* ταῦτα *WvV* βιωτεύοντες *i codd. (f corr. in marg.), H (id.)* καὶ] *WvVL; om. gli altri codd. e le edd.* 7. καιρῷ *innanzi a* ὡρ. *e* ὡραίοις *MeCDmf (corr.)* ὡραῖοι *WvV* 8. *Le parole* οὐδὲν - ὕδασιν *om. D* τέθειλαν *M* τέτειλεν *Cm* τέθειλεν *f (corr.)* 9. ἀναβρυν. *f (corr.)* ἐναρδευομένη? *per* ἐναβρ. *van Herwerden* δύοντε *W* 9-10. *Le parole* δύοντα - ἀνθρώπῳ μὲν *om. D* 10. μὲν ἀνθρώπω *MeCmf, HP* ἔχεις *D, van Herwerden, a torto, stando qui bene il singolare collettivo.* 11. ἐπεὶ *per* δὲ *MeCDmf (corr. in marg.), H* ἀνάριθμοι *WvVf (marg.), Reg.* παντοδαπὰ] *WvVL* παντοδαπῶν *gli altri codd. e le edd.*

In questa isola di Brittia gli antichi edificarono una lunga muraglia che divide dal resto una grande parte di essa; poichè la terra e l' aria ed ogni altra cosa non sono eguali in ambedue le parti. Infatti la parte ad oriente della muraglia ha un buon clima con giusta variazione di stagioni; l' estate moderatamente calda, piuttosto freddo l' inverno; ed ha molti abitanti i quali vivono alla stessa maniera degli altri uomini; e gli alberi alla loro stagione maturano i frutti, e le messi vi germogliano non meno che altrove; ed inoltre quel paese si pregia di acque abbondanti. Ad occidente invece è tutto il contrario, tanto che un uomo non vi può vivere neppure una mezz' ora; la vipera e serpenti innumerevoli ed altre bestie d' ogni specie dominano in quella re-

ρωται τὸν χῶρον ἐκεῖνον. καί, τὸ δὴ παραλογώτατον, οἱ ἐπιχώριοι
λέγουσιν ὡς, εἴ τις ἄνθρωπος τὸ τεῖχος ἀμείψας ἐπὶ θάτερα ἴοι, εὐθυω-
ρὸν θνήσκει, τὸ λοιμῶδες τῶν ἐκείνῃ ἀέρων ὡς ἥκιστα φέρων, τοῖς τε
P 624 θηρίοις ἐνθάδε ἰοῦσιν ὁ θάνατος εὐθὺς ὑπαντιάζων ἐκδέχεται. ἐνταῦθα
δέ μοι γενομένῳ τῆς ἱστορίας ἐπάναγκές ἐστι λόγου μυθολογίᾳ ἐμφε- 5
ρεστάτου ἐπιμνησθῆναι, ὅς δή μοι οὔτε πιστὸς τὸ παράπαν ἔδοξεν εἶναι,
καίπερ ἀεὶ πρὸς ἀνδρῶν ἐκφερόμενος ἀναρίθμων, οἳ δὴ τῶν μὲν πρασ-
σομένων αὐτουργοί, τῶν δὲ λόγων αὐτήκοοι ἰσχυρίζονται γεγονέναι,
B 567 οὔτε παριτέος παντάπασιν, ὡς μὴ τά γε ἀμφὶ Βριττίᾳ τῇ νήσῳ ἀναγρα-
φόμενος ἀγνοίας τινὸς τῶν τῇδε ξυμβαινόντων διηνεκῶς ἀπενέγκαιμι δόξαν. 10
H 352 Λέγουσιν οὖν τὰς τῶν ἀποβιούντων ἀνθρώπων ψυχὰς ἐς τοῦτο ἀεὶ
διακομίζεσθαι τὸ χωρίον. ὄντινα δὲ τρόπον, αὐτίκα δηλώσω, σπου-

2. λέγουσι *D* ἤει *per* ἴοι *WvVL* 3. θνήσκει *D* φέρειν *M (corr.) D*
4. ζώοις *per* θηρίοις *e* 6. οὔτ' ἐπὶ τὸ παράπαν *MCDmf (corr. in marg.), P*
ἀληθὴς ἔδοξεν *MeCD* (ἔδοξε) *mf (corr. in marg.), P* 7. μὲν *om. MeDmf (agg. in marg.)* 8. αὐτουργὸν *D* ἰσχυρίζονται] *WvV* ἰσχυρίζοντο *gli altri codd. e le edd.* 9. παραιτητέος *MeCDmf (corr. in marg.), H* παριτέον *P* τά γε *om. MCDmf (agg. in marg.)* ἀμφὶ τά τε *MCDmf* βρυτία *eC* 9-10. ἀνα-γραψόμενα *MeCDmf (corr. in marg.)* 10. ἀγνοίαν *WL* διηναικῶς *W* ἀπε-νέγκωμαι *MeCDvVmf (corr. in marg.), H* ἀπενέγκωμεν (αι sopr. *di m. rec.) W*
11. λέγουσι *D* ἀνθρώπων *om. MeCDmf (agg. in marg.)*

gione, e, ciò che è più strano, dicono gli indigeni che se un uomo passa la muraglia andando dall' altra parte, muore all' istante, non potendo sopportare quell' aria pestilenziale, ed anche gli animali che vi passano v' incontrano morte istantanea. E poichè sono a questo punto della mia storia, è d' uopo che io ricordi un fatto assai simile ad una favola, il quale a me invero non pare credibile, quantunque soglia essere riferito da innumerevoli persone che affermano di avervi avuto parte essi stessi e d' aver pur essi udito quel che se ne diceva; pur nondimeno non parmi doverlo affatto pretermettere, affinchè, mentre io descrivo le cose dell' isola di Brittia, non mi venga taccia di ignorare alcunchè di quanto vi avviene.

Dicono adunque che le anime dei trapassati soglion essere a questo luogo recate; ed in qual modo, vengo tosto a dire, per

δαιότατα μὲν ἀπαγγελλόντων ἀκηκοὼς πολλάκις τῶν τῇδε ἀνθρώπων, ἐς ὀνείρων δή τινα δύναμιν ἀποκεκρίσθαι νενομικὼς τὰ θρυλούμενα. παρὰ τὴν ἀκτὴν τοῦ κατὰ τὴν Βριττίαν νῆσον ὠκεανοῦ κώμας παμπληθεῖς ξυμβαίνει εἶναι. οἰκοῦσι δὲ αὐτὰς ἄνθρωποι σαγηνεύοντές τε
5 καὶ γῆν γεωργοῦντες καὶ ἐπ' ἐμπορίαν ναυτιλλόμενοι ἐς τήνδε τὴν νῆσον, τὰ μὲν ἄλλα Φράγγων κατήκοοι ὄντες, φόρου μέντοι ἀπαγωγὴν οὐδεπώποτε παρασχόμενοι, ὑφειμένου αὐτοῖς ἐκ παλαιοῦ τοῦδε τοῦ ἄχθους, ὑπουργίας τινός, ὥς φασιν, ἕνεκα, ᾗ μοι ἐν τῷ παρόντι λελέξεται. λέγουσιν οἱ ταύτῃ ἄνθρωποι ἐκ περιτροπῆς ἐπικεῖσθαι τὰς τῶν ψυχῶν παρα-
10 πομπὰς σφίσιν. ὅσους οὖν τῇ ἐπιγενησομένῃ νυκτὶ ἐς τὸ ἐπιτήδευμα τοῦτο τῇ τῆς ὑπουργίας διαδοχῇ ἰτέον ἐστὶν, οὗτοι δὴ ἐπειδὰν τάχιστα ξυσκοτάζῃ, ἐς τὰς οἰκίας τὰς αὐτῶν ἀναχωροῦντες καθεύδουσι, προσδε-

2. ὀνείρων δή] *WvV, Reg.* ὀνειρώδη δέ *gli altri codd. (τε D) e le edd.* ἀποκεκροῦσθαι *WvV* θρυλούμενα] *B* θρυλλούμενα *i codd., HP* 3. τοῦ] *WvVL* τῆς *gli altri codd. e le edd.* βρυτίαν *eC* βριτίαν *D* νῆσον ὠκεανοῦ] ὠκεανοῦ νῆσον *WvVL* τοῦ ὠκ. νήσου *gli altri codd., B* τ. ὠκ. νῆσον *H (in marg.* νήσου) *P* 4. αὐτοῖς *WvV* σαγκνεύοντες *C* σαγκνεύοντές *m* σαγκ(η)νεύοντές *f* 5. ἐπαπορίαν *D* ἐμπορία *L* ναυτιλόμενοι *eDW (corr.) vV* 6-7. οὐδέποτε *e* οὔτε πώποτε *MD, HP* οὔτε πῶποτε *Cmf* οὐπώποτε *WvVL* 7. πασχόμενοι *D* 10. σφίσι *D* ὅσοις *Braun* 11. δὴ *om. eCDmf (agg. in marg.)* 11-12. ἐπεὶ δουσι *D (om. -δὰν – καθεύ-)* 12. συσκοτάζει *M* συσκοτάζει(η) *C* ξῦνσκοτάζει *W* ξυνσκοτάζει *vV* ξυσκοτάζει *mf, HP* ξυνσκ. *L (corr.)* καθεύδουσιν *e*

averlo più volte udito con tutta serietà narrare da uomini di quel paese, mentre pur ritengo che quanto se ne dice debba ridursi ad un certo qual effetto di sogni. Lungo la spiaggia dell' Oceano situata di contro all' isola di Brittia trovansi gran numero di villaggi, abitati da pescatori, da agricoltori e da altri che per commercio navigano verso quell' isola. Son costoro in ogni cosa soggetti ai Franchi, solo non pagando mai ad essi tributo, essendo da antico tempo dispensati da questa gravezza, a cagione, come dicono, di certo servigio di cui vengo ora a tener parola. Dicono queste genti di colà che per turno ad essi tocca il trasporto delle anime. Quanti adunque nella notte prossima debbon succedere nell' andare per tale incombenza, tostochè venga la notte, ridottisi nelle loro case sen vanno a letto, aspettando il

χόμενοι τὸν ξυναγωγέα τοῦ πράγματος. ἀωρὶ δὲ νύκτωρ τῶν μὲν θυρῶν σφίσιν ἀρασσομένων αἰσθάνονται, φωνῆς δέ τινος ἀφανοῦς ἐπαΐουσιν ἐπὶ τὸ ἔργον αὐτοὺς ξυγκαλούσης. αὐτοί τε ὀκνήσει οὐδεμιᾷ ἐκ τῶν
B 568 στρωμάτων ἐξανιστάμενοι ἐπὶ τὴν ἠϊόνα βαδίζουσιν, οὐ ξυνιέντες μὲν ὁποία ποτὲ ἀνάγκη αὐτοὺς ἐς τοῦτο ἐνάγει, ἀλλ' ὅμως ἀναγκαζόμενοι. 5
ἐνταῦθα δὲ ἀκάτους παρεσκευασμένας ὁρῶσιν ἐρήμους τὸ παράπαν ἀνθρώπων, οὐ τὰς σφετέρας μέντοι, ἀλλ' ἑτέρας τινάς, ἐς ἃς δὴ ἐσβάντες τῶν κωπῶν ἅπτονται. καὶ τῶν βάρεων αἰσθάνονται ἀχθομένων μὲν ἐπιβατῶν πλήθει, ἄχρι δὲ ἐς σανίδος τε ἄκρας καὶ τῶν κωπῶν τὴν χώραν τῷ ῥοθίῳ βεβαπτισμένων, ἀποδεουσῶν τε τοῦ ὕδατος ὅσον οὐδὲ δάκτυλον 10
ἕνα, αὐτοὶ μέντοι οὐδένα θεῶνται, ἀλλὰ καὶ μίαν ἐρέσσοντες ὥραν ἐς τὴν Βριττίαν καταίρουσι. καίτοι ταῖς ἀκάτοις ἡνίκα ταῖς αὐτῶν ἰδίαις ναυτίλλονται, οὐχ ἱστίοις χρώμενοι, ἀλλ' ἐρέσσοντες ἐς νύκτα τε καὶ

1. συναγωγέα *WvVL* δὲ τῶν νυκτῶν *WvVf (marg.) L* 2. σφίσι *D* αἰσθάνεται *W (corr.)* ἀμφανοῦς *D* διαφανῶς *WvVL* « διαφανῶς *vel* δὴ ἀφανοῦς » *f (marg.)* 4. στρωμμάτων *Wv (μ soprascr.) V (μ sottoscr.)* ἠϊόνα] *e WvVf, P* ἠόνα *gli altri codd., HB* 5. ὁποῖα *D* ἀναγκαζόμενοι ἵενται *e* 6. τοπαράπαν *MCWvmf* 7. ἐμβάντες *eC* 8. κοπῶν *W* τῶν *dopo* καὶ *om. WvVL* βαρέων *WvV* 9. ἐσανίδας *W* σανίδας *vVL* κοπῶν *D* 10. τῷ *om. HP* βεβαπτησμένω *D* ἀποσεουσῶν *D (corr.)* ὅσον *om. Dmf (agg. in marg.)* 11. ἕνεκα *per* ἕνα *D* 12. βρυτίαν *eC* βριτίαν *D* καί τι *W* 13. ναυτίλονται *D* ναυτίλωνται (λ *soprascr.*) *W* ναυτίλλωνται *vV* ἐρέσσοντες *om. MeCD mf (agg. in marg.)*

chiamatore all' opera. A notte profonda sentono picchiare alle porte, ed una voce odono nel buio che li invita al lavoro. Senza alcun indugio balzano su dal letto e sen vanno alla spiaggia, senza pur intendere qual necessità mai a ciò li spinga, ma pur sentendosi sforzati. Colà essi scorgono delle barche pronte, affatto vuote di uomini, non però le loro, ma altre, e saliti su quelle dan mano ai remi; e sentono che le barche son gravate da una moltitudine che vi sale, e si sprofondan nell' onda fino all' orlo del bordo ed alla commettitura dei remi, tanto da emergere appena di un dito dall' acqua. Essi però non veggono alcuno; ma dopo aver remigato per un' ora, approdano a Brittia, benchè quando essi navigano coi propri navigli senza usar vele ma remigando, a stento

ἡμέραν, μόλις ἐνταῦθα διαπορθμεύονται· ἐς τὴν νῆσον δὲ καταπλεύσαντες ἀποφορτιζόμενοι ἀπαλλάσσονται αὐτίκα δὴ μάλα, τῶν βάρεων σφίσι κούφων τε γινομένων ἐκ τοῦ αἰφνιδίου κἀκ τοῦ ῥοθίου ἐπαιρομένων ἔν τε τῷ ὕδατι καταδυομένων οὐδέν τι ἄλλο, πλήν γε ὅσα ἐς
5 τὴν τρόπιν αὐτήν. καὶ αὐτοὶ μὲν ἀνθρώπων οὐδένα ὁρῶσιν οὔτε ξυμπλέοντα οὔτε ἀπαλλασσόμενον τῆς νηός, φωνῆς δὲ ἀκούειν τινὸς ἐνθένδε P 625 φασὶ τοῖς ὑποδεχομένοις ἀπαγγέλλειν δοκούσης πρὸς ὄνομα τῶν ξυμπεπλευκότων αὐτοῖς ἕκαστον, τά τε ἀξιώματα ἐπιλεγούσης οἷς πρώην ἐχρῶντο καὶ πατρόθεν αὐτοὺς ἀνακαλούσης. ἢν δὲ καὶ γυναῖκες ξυν-
10 διαπορθμευσάμεναι αὐτοῖς τύχωσι, τῶν ἀνδρῶν ἀποστοματίζουσι τὰ ὀνόματα οἷσπερ ξυνοικοῦσαι ἐβίων. ταῦτα μὲν οὖν οἱ τῇδε ἄνθρωποι B 569 ξυμβαίνειν φασίν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.

κα'. Οὕτω μὲν οὖν τὰ κατὰ τοὺς πολέμους ἐν χώρᾳ ἑκάστῃ ξυνηνέχθη γενέσθαι. ὁ δὲ Γοτθικὸς πόλεμος ἐφέρετο ὧδε. Βελισάριον V 220

2. βαρέων *DWV* 3. τε *om. WvV* γενομένων *D* 4. δὲ *per* τε *e* 4-5. *Le parole* ἔν τε - αὐτήν *om. WvV* 5. τρόπην *MCDmf (corr.)* ὁρῶσι *D* 7. φασὶν *Mmf* 7-8. συμπεπλ. *WvVL'* 8. ἧς *per* οἷς *L* 9-11. *Le parole* ἢν δὲ καὶ - ἐβίων *om. WvV* 10. τύχωσιν *e* 12. φασὶ *D* 13. τὰ μὲν οὖν *per* οὕτω μὲν οὖν τὰ *WvVf (marg.) L* πολέμους] *WvV* πολεμίους *gli altri codd. e le edd.*

riescano a fare il passaggio in tutto un dì ed una notte. Toccato che abbiano terra sull' isola, tosto si accorgono di essersi scaricati, facendosi subitamente leggiere le barche ed emergendo dall' onda senza più rimanerne immersa nell'acqua se non la sola carena. Essi invero non vedono alcuno nè che navighi con loro, nè che scenda dalla nave; dicono però di udire una voce che pare faccia la chiama per nome di ciascuno dei tragittati aggiungendo i titoli che già ebbero ed anche chiamandoli col nome paterno. Che se avvenga trovinsi anche donne fra i tragittati, vengon nominati gli uomini ai quali furon maritate. Tanto vien detto dalla gente del paese colà accadere. Io però torno al soggetto da cui mi dipartii.

XXI. Tali adunque furono i fatti di guerra ch' ebber luogo in ciascuno di questi paesi. Quanto alla guerra gotica, ecco

μὲν ἐς Βυζάντιον μεταπεμψάμενος βασιλεὺς, ἧπέρ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, διὰ τιμῆς ἦγε, καὶ οὐδὲ Γερμανοῦ τετελευτηκότος πέμπειν αὐτὸν διενοεῖτο ἐς τὴν Ἰταλίαν, ἀλλὰ καὶ στρατηγὸν τῆς ἑῴας ὄντα, τῶν βασιλικῶν σωματοφυλάκων ἄρχοντα καταστησάμενος, αὐτοῦ κατεῖχεν. ἦν δὲ τῷ ἀξιώματι πρῶτος ὁ Βελισάριος Ῥωμαίων ἁπάντων, 5 καίτοι τινὲς αὐτῶν πρότεροι ἀνάγραπτοί τε ἐς πατρικίους γεγόνασι καὶ ἐς αὐτὸν ἀναβεβήκεσαν τῶν ὑπάτων τὸν δίφρον. ἀλλὰ καὶ ὣς αὐτῷ τῶν πρωτείων ἐξίσταντο πάντες, αἰσχυνόμενοι κατὰ τῆς ἀρετῆς τῷ νόμῳ χρῆσθαι καὶ τὸ ἀπ' αὐτοῦ δικαίωμα περιβάλλεσθαι. ταῦτά τε βασιλέα κομιδῇ ἤρεσκεν. Ἰωάννης δὲ ὁ Βιταλιανοῦ διεχείμαζεν ἐν 10 Σάλωσι. προσδεχόμενοί τε αὐτὸν ἐν Ἰταλίᾳ τοῦτον δὴ τὸν χρόνον οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ἄπρακτοι ἔμενον. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ ἑκκαιδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

1. παραπεμψάμενος *MCDmf (corr. in marg.), H* 2. πέμπει *D* 3. ἐς τὴν ἰτ. διενοεῖτο *WvVf (marg.) L* 5. τε *per* δὲ *WvV* ὁ *om. MCDm f (soprascr. di sec. m.)* 6. αὐτοὶ *WvVL* τε *om. MCDmf (agg. in marg.)* 7. αὐτῶν *per* αὐτὸν *WvV* 9. τε *om. D* 10. ἰωάννην *D* 11. σάλωσιν *WvV* 13. ἑνδέκατον *D* ἑπτακαιδέκατον *WvVf (marg.), Reg.* τῷ γοτθικῷ πολέμῳ *V; om. WvL*

com' essa andava. L' imperatore dopo aver richiamato Belisario a Bizanzio, come narrai nei libri antecedenti, lo teneva in grande onore, e neppur dopo la morte di Germano si decise a rimandarlo in Italia, ma mentr' era già comandante generale delle truppe d' Oriente lo nominò capitano delle guardie del corpo imperiali e lo ritenne seco. Per dignità era Belisario il primo fra tutti i Romani, quantunque taluni di essi prima di lui fossero ascritti fra i patrizi e fossero sollevati anche al seggio consolare. Purnondimeno tutti cedevano a lui il primato, peritandosi dinanzi al valore di far uso della legge e di assumersi i diritti che questa accorda; e di tutto ciò molto compiacevasi l' imperatore. Giovanni, nepote di Vitaliano, svernava in Salona e i duci dell' esercito romano, aspettando lui in Italia, per tutto quel tempo rimanevano inattivi. E l' inverno venne al termine ed il sedicesimo anno si compieva di questa guerra, di cui Procopio scrisse la storia.

Τῷ δὲ ἐπιγενομένῳ ἔτει Ἰωάννης μὲν διενοεῖτο ἐκ Σαλώνων τε ἐξανίστασθαι καὶ τῷ στρατῷ ἐξηγεῖσθαι ὅτι τάχιστα ἐπὶ Τωτίλαν τε (B 570) καὶ Γότθους. βασιλεὺς δὲ αὐτὸν διεκώλυεν, αὐτοῦ τε μένειν ἐπέστελλεν, ἕως Ναρσῆς ὁ εὐνοῦχος ἀφίκηται. αὐτὸν γὰρ τοῦδε αὐτοκράτορα κατα-
5 στήσασθαι τοῦ πολέμου ἐβούλευσεν. ὅτου δὲ δὴ ἕνεκα ταῦτα βουλομένῳ βασιλεῖ εἴη διαρρήδην μὲν τῶν πάντων οὐδενὶ φανερὸν γέγονε· βασιλέως γὰρ βούλευμα ἔκπυστον ὅτι μὴ αὐτοῦ ἐθελουσίου ἀμήχανά ἐστι γενέσθαι· ἃ δὲ ὑποπτεύοντες ἄνθρωποι ἔλεγον, ἐγὼ δηλώσω. ἔννοια (H 353) Ἰουστινιανῷ βασιλεῖ γέγονεν ὡς οἱ ἄλλοι τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες (P 626)
10 Ἰωάννῃ ὑπακούειν ὡς ἥκιστα ἐθελήσουσιν, οὐκ ἀξιοῦντες καταδεέστερόν τι αὐτοῖς τὸ ἀξίωμα εἶναι. καὶ ἀπ' αὐτοῦ ἔδεισε μὴ διχοστατοῦντες τῇ γνώμῃ ἢ ἐθελοκακοῦντες τῷ φθόνῳ ξυγχέωσι τὰ πρασσόμενα. ἤκουσα δέ ποτε καὶ τόνδε τὸν λόγον ἀπαγγέλλοντος Ῥωμαίου ἀνδρὸς, ἡνίκα

1. ἐνιαυτῷ *per* ἔτει *WvV, Reg.* 2. τουττίλαν *WvV* τουτίλλαν *f(marg.) L* 4. αὐτοκράτωρα *D* 4-5. κατεστήσασθαι *D* καταστήσησθαι *W* καταστήσεσθαι *vV* 5. ἐβούλευσε *D* δὴ *om. Dmf (agg. in marg.)* 6. διαρήδην *D* τῶν *om. D* γέγονεν *W* 7. ἔκπιστον *D* ἔστιν *WvV* 8. γενέσθαι *om. WvV; in parent. f (marg.)* ἔνναια *D* 10. Ἰωάννῃ ὑπακούειν] *Reg., B* ἰωάννου ἐπακ. *MCDmf (in marg.* ἰωάννῃ*), HP* ἰῶ ἐπακ. *WvV* καταδεέστεροί *WvV* 11. αὐτοῦ *per* αὐτοῖς *WvVf(marg.), Reg.* διχοστοματ. *D* 13. ποτε *om. WvVL*

L' anno seguente Giovanni proponevasi di muover da Salona e recarsi al più presto con l' esercito contro Totila ed i Goti; ma l' imperatore glielo vietò e diedegli ordine di rimaner colà finchè giungesse l' eunuco Narsete. Poichè l' imperatore avea deciso di nominar costui comandante generale di quella guerra. Per qual ragione poi l' imperatore venisse in questo divisamento, niuno potè averne sicura contezza, poichè è affatto impossibile che si venga a sapere il pensiero imperiale se non per volontà dell' imperatore stesso; quel che però la gente, congetturando, ne diceva, io qui riferirò. A Giustiniano imperatore venne in mente che gli altri duci dell' esercito romano ricuserebbero ubbidienza a Giovanni non volendo essere alcunamente inferiori ad esso di grado; quindi il timore in lui che, discordanti nei pareri o agendo a dispetto per invidia, non mandassero a fascio le cose. Anche il seguente fatto udii un tempo narrare da un Romano

ἐπὶ Ῥώμης διατριβὴν εἶχον· ἦν δὲ οὗτος ἀνὴρ τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς. ἔλεγεν οὖν ὁ Ῥωμαῖος οὗτος ὡς ἄρχοι μὲν Ἰταλίας ποτὲ Ἀταλάριχος ὁ Θευδερίχου θυγατριδοῦς, βοῶν δέ τις ἀγέλη ἐς Ῥώμην ὑπὸ τοῦτον τὸν χρόνον ἀμφὶ δείλην ὀψίαν ἐξ ἀγροῦ ἥκει διὰ τῆς ἀγορᾶς, ἣν φόρον Εἰρήνης καλοῦσι Ῥωμαῖοι. ἐνταῦθα γάρ πη ὁ τῆς Εἰρήνης 5 νεὼς κεραυνόβλητος γενόμενος ἐκ παλαιοῦ κεῖται. ἔστι δέ τις ἀρχαία πρὸ ταύτης δὴ τῆς ἀγορᾶς κρήνη, καὶ βοῦς ἐπὶ ταύτης χαλκοῦς ἕστηκε, Φειδίου, οἶμαι, τοῦ Ἀθηναίου ἢ Λυσίππου ἔργον. ἀγάλματα γὰρ ἐν B 571 χώρῳ τούτῳ πολλὰ τούτοιν δὴ τοῖν ἀνδροῖν ποιήματά ἐστιν. οὗ δὴ καὶ Φειδίου ἔργον ἕτερον· τοῦτο γὰρ λέγει τὰ ἐν τῷ ἀγάλματι γράμματα. 10 ἐνταῦθα καὶ τὸ τοῦ Μύρωνος βοΐδιον. ἐπιμελὲς γὰρ ἐγεγόνει τοῖς πάλαι Ῥωμαίοις τῆς Ἑλλάδος τὰ κάλλιστα πάντα ἐγκαλλωπίσματα Ῥώμης ποιήσασθαι. ἕνα δὲ ταῦρον ἔφη τῶν τηνικάδε παριόντων εὐνοῦχον τῆς

1-2. *Le parole* ἀνὴρ – οὗτος *om. D* 1. συγκλήτου *WvVL* 2. ἄρχειν *MCDmf (corr. in marg.), H* 3. τίνα ἀγέλην *f (marg.)* τινὰ ἀγέλην *Reg.* 4. ἥκειν *Wvf (marg.), Reg.* ἥκει^ν^ (ν *soprascr. di m. rec.) V* 6. ἀρχαῖα *D* 7. κρίνη *D* 8. λυσίπου *D* λυσίππου *f (corr.)* δ᾽ ἐν *per* γὰρ ἐν *MCDmf (corr. in marg.), H* 9. πεποιεμένα *MCDmf (corr. in marg.)* πεποιημένον *H* ἐστι *W* 10. ἑτέρων ἔργων *WvVL* 11. μήρωνος *D* βοΐδιον *MCWmf, HP* 12. ῥωμαίοις *ripete D* ἐγκαλωπίσματα *DW* 13. δὲ *om. WvV* τῆς *per* τῶν *MC Dmf* εὐνούχων *CWvV*

quando io dimoravo in Roma. Era questi un del Senato. Diceva dunque questo Romano che un tempo mentre regnava in Italia Atalarico, nato dalla figlia di Teoderico, un armento di buoi un dì sulla sera, venuto a Roma dalla campagna, passò per quel Foro che i Romani chiamano della Pace, poichè ivi trovasi il tempio della Pace, che in antico fu colpito dal fulmine. Dinanzi a questo Foro trovasi una fonte antica sulla quale sta un bue di bronzo, opera credo dell' ateniese Fidia o di Lisippo; poichè molte delle statue che trovansi in quel luogo sono opera di questi due; ivi è certamente anche un altro lavoro di Fidia, chè tanto dice l' iscrizione che vi si legge; e colà trovasi anche la vitella di Mirone. Poichè i Romani antichi si davan premura di adornare Roma colle cose più belle della Grecia. Diceva dunque colui che un toro castrato di quei che passavano, uscito

τε ἀγέλης ἀπολειπόμενον καὶ ταύτης δὴ τῆς κρήνης ἐπιβατεύσαντα καθύπερθε βοὸς τοῦ χαλκοῦ στῆναι. τύχῃ δέ τινι παριόντα τινὰ, Τοῦσκον γένος, κομιδῇ ἄγροικον δόξαντα εἶναι, ξυμβάλλοντα τὸ ποιούμενον φάναι (εἰσὶ γὰρ μαντικοὶ καὶ ἐς ἐμὲ Τοῦσκοι) ὡς εὐνοῦχός ποτε κα-
5 ταλύσει τὸν ἄρχοντα Ῥώμης. καὶ τηνικαῦτα μὲν ὅ τε Τοῦσκος ἐκεῖνος καὶ ὁ παρ' αὐτοῦ λόγος γέλωτα ὦφλε. πρὸ γὰρ τῆς πείρας ἀεὶ ἄνθρωποι τὰς προρρήσεις φιλοῦσι χλευάζειν, οὐκ ἀναχαιτίζοντος αὐτοὺς τοῦ ἐλέγχου, τῷ μήτε ἀποβεβηκέναι τὰ πράγματα μήτε τὸν περὶ αὐτῶν V 221 λόγον εἶναι πιστὸν, ἀλλὰ μύθῳ τινὶ γελοιώδει ἐμφερῆ φαίνεσθαι. νῦν
10 δὲ δὴ ἅπαντες τὸ ξύμβολον τοῦτο τοῖς ἀποβεβηκόσιν ὑποχωροῦντες θαυμάζουσι. καὶ διὰ τοῦτο ἴσως ἐπὶ Τωτίλαν ἐστρατήγει Ναρσῆς, ἢ στοχαζομένης τοῦ ἐσομένου τῆς βασιλέως γνώμης, ἢ πρυτανευούσης τὸ δέον τῆς τύχης. ὁ μὲν οὖν Ναρσῆς στράτευμά τε λόγου ἄξιον καὶ

2. καθύπερθεν *DWv VL* 3. δόξωντα *MCDmf (corr.)* ξυμβαλόντα *D* 4. φᾶναι *W* οἶμαι *per* καὶ ἐς ἐμὲ *MCDmf (corr. in marg.), H* 5. τηνικάδε *WvVf (marg.), Reg.* 7. αὐτοῖς *MCDmf (corr. in marg.), H* 8. αὐτοῦ *MCDmf (corr. in marg.), H* 9. λόγον *om. MCDmf (agg. in marg.)* μύθων *Wf (marg.), H (id.)* ἐμφερεῖ *WvV* 10. δὲ *om. WL* τὸν ξύμβωλον *D* τοὺς *per* τοῖς *D* 11. τουττίλαν *WvV* τουτίλλαν *L* ναρδῆς *D (corr.)* 12. τῆς *soprascr. W*

dall' armento e salito sulla fonte, si pose in piedi sul bove di bronzo. Per caso un che di là passava, toscano di stirpe, d'aspetto assai rustico, traendo augurio dal fatto, poichè sono anche oggidì indovini i Toscani, si fece a dire che un giorno un eunuco spaccerebbe il signore di Roma. Ed allora quel Toscano colle sue parole provocò il riso; poichè gli uomini volontieri sogliono prima dell' evento volgere in burla le predizioni, non già per forza di argomenti, nè per non essersi quei fatti puranco verificati, nè perchè non sia credibile quel che se ne dice, ma perchè la cosa ha apparenza quasi di favoletta ridicola. Ora però, inchinandosi dinanzi agli avvenimenti, tutti ammirano quell' augurio. E forse per questo Narsete ebbe commessa a sè la guerra contro Totila, sia che l' imperatore congetturasse in sua mente dell'avvenire, sia che la sorte governasse quel che era destinato. Narsete adunque avuto dall' imperatore un esercito considerevole

χρήματα μεγάλα πρὸς βασιλέως κεκομισμένος ἐστέλλετο. ἐπειδὴ δὲ
ξὺν τοῖς ἑπομένοις ἐν μέσῃ Θράκῃ ἐγένετο, χρόνον τινὰ ἐν Φιλιππου-
B 572 πόλει ἀποκεκλεισμένος τῆς ὁδοῦ ἔμεινε. στράτευμα γὰρ Οὐννικὸν ἐπι-
σκῆψαν τῇ Ῥωμαίων ἀρχῇ ἅπαντα ἦγόν τε καὶ ἔφερον, οὐδενὸς σφίσιν
ἀντιστατοῦντος. ἐπειδὴ δὲ αὐτῶν οἱ μέν τινες ἐπὶ Θεσσαλονίκην, οἱ δὲ 5
τὴν ἐπὶ τὸ Βυζάντιον ᾔεσαν, μόλις ἐνθένδε ἀπαλλαγεὶς ἐπίπροσθεν ᾔει.

P 627 κβ'. Ἐν ᾧ δὲ ὁ μὲν Ἰωάννης ἐπὶ Σαλώνων Ναρσῆν ἔμενε, Ναρσῆς
δὲ Οὔννων τῇ ἐφόδῳ ξυμποδιζόμενος σχολαίτερον ᾔει, ἐν τούτῳ ὁ Τω-
τίλας προσδεχόμενος τὴν Ναρσοῦ στρατιὰν ἐποίει τάδε. ἄλλους τε Ῥω-
μαίους καί τινας τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς ἐν Ῥώμῃ καθίστη, 10
τοὺς λοιποὺς ἐπὶ Καμπανίας ἐάσας. καὶ αὐτοὺς ἐκέλευεν ὅση δύναμις
ἐπιμελεῖσθαι τῆς πόλεως, ἐνδεικνύμενος ὅτι δὴ αὐτῷ μεταμέλει τῶν οἱ

2-3. φιλιπποπόλει *Mm* φιλίππω πόλει *D* φιλίππου πόλει *WvVL* φιλιπ-πόλει *f (corr.)* 4. ἀρχὴ *D* ἦγέ τε καὶ ἔφερεν *WvVf (marg.), Reg.* (ἔφερε) σφίσι *D* 5. ἀντισταντοῦντος *W* 7. ναρσῆ *per* Ναρσῆν *W* 8. συμποδ. *WvVL* σχολαιότερον *MCDm* σχολαίτερος *WvV* 8-9. τουττίλας *WvV* τουτίλλας *L* 10. τῶν *soprascr. di sec. m. f* συγκλήτου *DWvVL* καθίστησι *f (marg.), Reg.* 11. ἐν ὅση *(sic) D* 12. ἐνδεικνύμενος *om. MCDmf (agg. in marg.)* μεταμέλλει *MCDmf (corr. di sec. m.)* οἱ *om. L*

e molto danaro, si mise in via. Giunto che fu coi suoi in mezzo alla Tracia si trattenne per qualche tempo in Filippopoli, essendogli sbarrata la via da un' orda di Unni che irrompendo nell' impero romano, ogni cosa metteva a sacco senza che alcuno si opponesse. Quando poi costoro se ne furono andati parte su Tessalonica, parte su Bizanzio, toltosi finalmente di là procedette oltre.

XXII. Mentre Giovanni stavasi a Salona aspettando Narsete e questi, trattenuto dalla irruzione degli Unni, procedeva lentamente, Totila preparandosi alla venuta dell' esercito di Narsete prendeva queste misure. Richiamò a Roma parecchi senatori insieme ad altri Romani, lasciando gli altri nella Campania; a quelli ordinò di prender cura con ogni potere della città, mostrandosi pentito di quanto già prima avea fatto contro Roma

ἐς Ῥώμην εἰργασμένων τὰ πρότερα, ἐπεὶ ἐμπρήσας αὐτῆς πολλὰ ἔτυχεν,
ἄλλως τε καὶ ὑπὲρ Τίβεριν ποταμόν. οἱ δὲ καθεστῶτες ἐν αἰχμαλώτων
λόγῳ καὶ περιῃρημένοι χρήματα πάντα, μὴ ὅτι τῶν κοινῶν, ἀλλ᾽ οὐδὲ
τῶν ἰδίᾳ σφίσι προσηκόντων μεταποιεῖσθαι δυνατοὶ ἦσαν. καίτοι ἀνθρώ-
5 πων μάλιστα πάντων ὧν ἡμεῖς ἴσμεν φιλοπόλιδες Ῥωμαῖοι τυγχάνουσιν
ὄντες, περιστέλλειν τε τὰ πάτρια πάντα καὶ διασώζεσθαι ἐν σπουδῇ
ἔχουσιν, ὅπως δὴ μηδὲν ἀφανίζηται Ῥώμῃ τοῦ παλαιοῦ κόσμου. οἵ γε
καὶ πολύν τινα βεβαρβαρωμένοι αἰῶνα τάς τε πόλεως διεσώσαντο οἰκο-
δομίας καὶ τῶν ἐγκαλλωπισμάτων τὰ πλεῖστα, ὅσα οἷόν τε ἦν, χρόνῳ
10 τε τοσούτῳ τὸ μῆκος καὶ τῷ ἀτημελεῖσθαι δι᾽ ἀρετὴν τῶν πεποιημένων B 573
ἀντέχει. ἔτι μέντοι καὶ ὅσα μνημεῖα τοῦ γένους ἐλέλειπτο ἔτι, ἐν τοῖς
καὶ ἡ ναῦς Αἰνείου, τοῦ τῆς πόλεως οἰκιστοῦ, καὶ εἰς τόδε κεῖται, θέαμα
παντελῶς ἄπιστον. νεώσοικον γὰρ ποιησάμενοι ἐν μέσῃ τῇ πόλει, παρὰ
τὴν τοῦ Τιβέριδος ὄχθην, ἐνταῦθά τε αὐτὴν καταθέμενοι, ἐξ ἐκείνου

2. καὶ οἱ ὑπὲρ *WvVf (marg.) L* οἱ δὲ *om. WvVf (marg.) L* 4. δυ-
νατοὶ ἦσαν μεταποιεῖσθαι *WvVL* 4-5. ἀνθρώπω *D* 6. πάντῃ *f (marg.) L*
7. κόσμου τοῦ παλαιοῦ ῥώμῃ! *f (marg.) L* *WvVL om. tutto il passo* οἵ γε –
ταύτῃ ἔχει *(p. 167, r. 15).* 10. ἀπημελεῖσθαι *MCmf* ἀπομελεῖσθαι *D*
11. ἀντέχειν *D* 13. νεώδικον *D*

di cui gran parte avea bruciato, particolarmente al di là del Tevere. Coloro posti in condizione di schiavi e privi di ogni avere, non solo non erano in grado di attendere alle pubbliche proprietà, ma neppure alle loro private. Eppure più di ogni altro popolo, a nostra notizia, i Romani sono affezionati alla loro città e si dan premura di mantenere e di conservare ogni cosa patria, perchè nulla dell' antica bellezza di Roma vada perduto. Ed invero per quanto lungamente subissero l' influsso barbarico, riuscirono a salvare gli edifizi pubblici, e la maggior parte dei pubblici ornamenti, quanti per sì gran tratto di tempo, grazie al genio dei loro autori, poteron resistere, benchè trasandati, come pure quanti monumenti o ricordi rimanessero della loro prosapia; fra' quali la nave di Enea, fondatore della città, esiste tuttavia, spettacolo oltre ogni credere interessante. Per quella fecero nel mezzo della città un cantiere sulla riva del Tevere, ove collocata da quel tempo la conservano. Com' essa sia fatta io, che

τηροῦσιν. ἥπερ ὁποία ποτέ ἐστιν αὐτὸς θεασάμενος ἐρῶν ἔρχομαι.
H 354 μονήρης δὲ ἡ ναῦς ἥδε καὶ περιμήκης ἄγαν τυγχάνει οὖσα, μῆκος μὲν
ποδῶν εἴκοσι καὶ ἑκατὸν, εὖρος δὲ πέντε καὶ εἴκοσι, τὸ δέ γε ὕψος
τοσαύτη ἐστὶν ὅσον αὐτὴν ἐρέσσεσθαι μὴ ἀδύνατα εἶναι. ξύλων δὲ
κόλλημα οὐδὲ ἓν τὸ παράπαν ἐνταῦθά ἐστιν οὐδὲ σιδήρων ἄλλῃ τινὶ 5
μηχανῇ τὰ ξύλα τοῦ πλοίου εἰς ἄλληλά πῃ ἐρήρεισται, ἀλλὰ μονοειδῆ
ξύμπαντά ἐστι λόγου τε καὶ ἀκοῆς κρείσσω καὶ μόνῳ γεγονότα, ὅσα
γε ἡμᾶς εἰδέναι, ἐν τῷδε τῷ πλοίῳ. ἥ τε γὰρ τρόπις μονοφυὴς οὖσα
ἐκ πρύμνης ἄκρας ἄχρι ἐς τὴν πρῷραν διήκει, κατὰ βραχὺ μὲν θαυ-
P 628 μασίως ἐπὶ τὸ κοῖλον ὑποχωροῦσα, καὶ αὖ πάλιν ἐνθένδε κατὰ λόγον 10
εὖ μάλα ἐπὶ τὸ ὀρθόν τε καὶ διατεταμένον ἐπανιοῦσα. τά τε παχέα
ξύμπαντα ξύλα ἐς τὴν τρόπιν ἐναρμοσθέντα (ἅπερ οἱ μὲν ποιηταὶ δρυό-
χους καλοῦσιν, ἕτεροι δὲ νομέας) ἐκ τοίχου μὲν ἕκαστον θατέρου ἄχρι
ἐς τῆς νεὼς διήκει τὸν ἕτερον τοῖχον. ὑφιζάνοντα δὲ καὶ αὐτὰ ἐξ ἑκα-
V 222 τέρας ἄκρας καμπὴν ποιεῖται διαφερόντως εὐπρόσωπον, ὅπως ἂν τὴν 15

1. ὁποῖα *D* 3. εἴκοσιν *D* 5. οὐδὲν *per il primo* οὐδὲ *D* 6. ἐρή-
σηται *D* 7. μόνον *D* « ἴσ. μόνως » *f (marg.)* 8. τροπὶς *Df (corr. da*
τρόπης*), HP* τρόπης *m* 9. ἄχρει *D* πρώραν *MCDmf, HP* 11. ὀρθρὸν *D*
παλέα *(sic) D* 12. τροπὶν *f, HP* 12-13. δρυόχους] *Maltreto, PB*
διόχους *MCmf, H* διόλχους *D* 13. σενομέας *D* 15. ὅπερ *D*

l' ho vista, vengo a riferire. Ha un solo ordine di remi quella
nave, ed è assai estesa. Misura in lunghezza centoventi piedi,
in larghezza venticinque, ed è alta tanto quant' è possibile senza
impedire la manovra dei remi. I legni che la compongono non
sono nè incollati fra loro, nè tenuti assieme per mezzo di ferri,
ma sono tutti quanti d' un sol pezzo fatti sopra ogni credere
ottimamente e quali, a nostra notizia, non se ne vider mai
se non in quella sola nave. Poichè la carena cavata da un
sol tronco va da poppa a prua insensibilmente divenendo cava in
modo mirabile e quindi nuovamente poco a poco ridiviene
retta e protesa. Tutti i grossi legni (costole) poi che vengono
adattati alla carena (chiamati dai poeti d r y o c h o i, dagli altri
n o m e i s) si estendono ciascuno dall' uno all' altro fianco della
nave; ed anche questi partendo da ambedue i bordi si adagiano
formando una curva d' assai bella forma, in conformità della cur-

νῆα κοίλην ἀποτετορνεῦσθαι ξυμβαίη, εἴτε τῆς φύσεως κατὰ τὴν τῆς B 574
χρείας ἀνάγκην τά τε ξύλα διακοψάσης καὶ ξυναρμοσαμένης τὰ πρότερα
τὸ κύρτωμα τοῦτο εἴτε χειροποιήτῳ τέχνῃ τε καὶ μηχανῇ ἄλλῃ τῆς
τῶν νομέων ἀνωμαλίας ἐν ἐπιτηδείῳ γεγενημένης. σανίς τε πρὸς ἐπὶ
5 τούτοις ἑκάστη ἐκ πρύμνης ἄκρας ἐς τῆς νηὸς ἐξικνεῖται τὴν ἑτέραν
ἀρχὴν, μονοειδὴς οὖσα καὶ κέντρα σιδηρᾶ τούτου ἕνεκα προσλαβοῦσα
μόνον, ὅπως δὴ ταῖς δοκοῖς ἐναρμοσθεῖσα τὸν τοῖχον ποιεῖ. οὕτω μὲν
ἡ ναῦς ἥδε πεποιημένη κρείσσω παρέχεται τοῦ λόγου τὴν ὄψιν, ἐπεὶ
τῶν ἔργων τὰ πλεῖστα παραλόγῳ ξυμβαίνοντα οὐκ εὐδιήγητα τίθεται
10 τοῖς ἀνθρώποις ἀεὶ τῶν πραγμάτων ἡ φύσις, ἀλλὰ ταῖς ἐπινοίαις τὰ
ξυνειθισμένα νικῶσα καὶ τοῦ λόγου κρατεῖ. τούτων δὲ δὴ τῶν ξύλων
οὐδὲν οὔτε σέσηπεν οὔτε τι ὑποφαίνει ὡς σαπρὸν εἴη, ἀλλ' ἀκραιφνὴς
πανταχόθι οὖσα ἡ ναῦς, ὥσπερ ὑπόγυιον τῷ τεχνίτῃ τῷ αὐτῆς, ὅστις
ποτὲ ἦν, νεναυπηγημένη, ἔρρωται καὶ ἐς ἐμὲ θαυμαστὸν ὅσον. τὰ μὲν
15 οὖν ἀμφὶ τῇ τοῦ Αἰνείου νηῒ ταύτῃ ἔχει.

1. νῆα μάλιστα κοίλην *MCm* νῆαν μάλιστα κοίλην *D* 4. ἐπιτηδίῳ *f (corr.)* 4-5. προσεπιτούτοις *MCmf (corr. di sec. m.)* 5-6. ἐσδηρά *D (om. le parole* τῆς - κέντρα σι-*)* 6. σιδηρά *C* 7. ἐναρσοσθεῖσα *C* ποιῆ *MCDm* 9. πλείστῳ *M CDmf (corr.), Braun* 13. ὑπόγυον *MCDmf (corr.)* 14. ποτ' ἦν *MCDmf*

vatura della nave, sia che la natura stessa secondo i bisogni del loro uso abbia dato a quei legni già da sè quel taglio e quella curvatura, sia che con arte manuale e con altri ordigni, di piani fossero quei regoli fatti curvi. Inoltre ognuna delle tavole partendo dalla cima della poppa giunge all' altra estremità della nave, tutta d' un sol pezzo e fornita di chiodi di ferro unicamente all' uopo d' essere commessa colla travatura in modo da formar la parete. Questa nave così fatta è mirabile a vedere più di quello possa dirsi in parole; ed invero tutte le opere straordinarie sono sempre per natura difficili a descrivere, e tanto superiori al linguaggio quanto lo sono all' ordinario pensiero. Di questi legni non ve n' ha uno che sia imputridito, niuno che si vegga tarlato, ma quella nave sana in tutto ed integra come se uscisse pur ora dalle mani dell' artefice, qual egli fosse, conservasi mirabilmente fino a questi giorni. E tanto sia detto di questa nave di Enea.

Τωτίλας δὲ πλοῖα μακρὰ ἐς τριακόσια Γότθων πληρώσας ἐς τὴν Ἑλλάδα ἐκέλευεν ἰέναι, ληΐζεσθαί τε τοὺς παραπίπτοντας ἐπιστείλας δυνάμει τῇ πάσῃ. οὗτος δὲ ὁ στόλος ἄχρι ἐς τὴν Φαιάκων χώραν, ἣ νῦν Κέρκυρα ἐπικαλεῖται, οὐδὲν ἄχαρι ἐργάζεσθαι ἔσχε. νῆσον γὰρ B 575 οὐδεμίαν ἐν τῷδε τῷ διάπλῳ οἰκουμένην ξυμβαίνει εἶναι ἐκ τοῦ κατὰ 5 τὴν Χάρυβδιν πορθμοῦ μέχρι ἐς τὴν Κέρκυραν, ὥστε πολλάκις ἐγὼ ἐνταῦθα γενόμενος διηπορούμην ὅπῃ ποτὲ ἄρα τῆς Καλυψοῦς ἡ νῆσος εἴη. ταύτης γὰρ τῆς θαλάσσης οὐδαμῆ νῆσον τεθέαμαι, ὅτι μὴ τρεῖς, οὐ πολλῷ ἄποθεν τῆς Φαιακίδος, ἀλλ' ὅσον ἀπὸ σταδίων τριακοσίων ἄγχιστά πῃ ἀλλήλων οὔσας, βραχείας κομιδῇ καὶ οὐδὲ ἀνθρώπων ἐχούσας 10 οἰκία οὔτε ζῴων οὔτε ἄλλων τὸ παράπαν οὐδέν. Ὀθονοὶ δὲ καλοῦνται τανῦν αἱ νῆσοι αὗται. καὶ φαίη ἄν τις τὴν Καλυψὼ ἐνταῦθα γενέσθαι, καὶ ἀπ' αὐτοῦ τὸν Ὀδυσσέα γῆς τῆς Φαιακίδος ὄντα οὐ πολλῷ ἄποθεν

1. καὶ πλοῖα μακρὰ τουττίλας ἐς *WvVL* (τουτίλλας) *f* (*marg.*) 2. τε *soprascr. di sec. m. f* 3. δὴ *per* δὲ *WL* ἄχρην *D* χώραν *om. MCDm f* (*agg. in marg.*) 4. νῆσσον *D* 5. τῷδε *om. WvL; in parent. f* 5-6. τοῦ καχάρυβδιν *D* 6. τὴν *innanzi a* Χάρ. *f marg.* 6-7. ἐνταῦθα ἐγὼ *D* 8. ταύτην *D* νῆσσον *D* 9. φαιάκιδος *D* 10. κομηδῆ *IV* οὐδὲν *D* 10-11. οἰκία ἐχούσας *WvVL* (οἰκεῖα) 11. οἰκεία *D* οὔτε – οὔτε] *B* οὐδὲ – οὐδὲ *i codd., HP* ἄλλων *om. MCDmf* (*agg. in marg.*) 12. νῆσσοι *D* ἐντεῦθεν *MCDmf* (*corr. in marg.*), *H* 13. ὀδυσέα *IV* φαιάκιδος *D* πολλῶν *D*

Totila riempite di Goti trecento navi lunghe ordinò che si recassero in Grecia ed a tutt' uomo facesser man bassa su tutti quanti incontrassero. Questa flotta però non trovò da far nulla di male finchè arrivò al paese dei Feaci, che oggi chiamasi Corcyra. Poichè in tutto quel tratto di mare dallo stretto di Cariddi fino a Corcyra non trovasi alcuna isola abitata. Talchè spesso nel passar di là io ebbi a domandarmi dove mai potesse trovarsi l' isola di Calipso; infatti in quel mare io non iscorsi se non tre isole non molto lontane da quella dei Feaci, ma distanti almeno un trecento stadi fra di loro e piccole assai, senza alcuna abitazione umana nè animali nè altro checchessia. Chiamansi oggi queste isole Othoni, e forse potrebbe dirsi che Calipso colà dimorasse e che quindi Ulisse trovandosi non molto lungi dalla terra dei Feaci, sia colla zattera, come dice Omero, sia in altro

ἢ σχεδίᾳ, ὥς φησιν Ὅμηρος, ἢ ἄλλῳ τῳ τρόπῳ νηός τινος χωρὶς ἐνθένδε
διαπορθμεύσασθαι. ἀλλὰ ταῦτα ἡμῖν ὅσον τεκμηριοῦσθαι εἰρήσθω.
τοῖς γὰρ παλαιοτάτοις ἐς τὸ ἀκριβὲς ἐναρμόσασθαι τὸν ἀληθῆ λόγον P 629
οὐ ῥᾴδιον, ἐπεὶ ὁ πολὺς χρόνος τά τε τῶν χωρίων ὀνόματα καὶ τὴν
5 ἀμφ' αὐτοῖς δόξαν ἐκ τοῦ ἐπὶ πλεῖστον μεταβάλλειν φιλεῖ. τὸ πλοῖον
ἀμέλει, ὅπερ ἐν γῇ τῇ Φαιακίδι ἐκ λίθου λευκοῦ πεποιημένον παρὰ
τὴν ταύτης ἀκτὴν ἕστηκεν, ἐκείνην τινὲς εἶναι τὴν ναῦν οἴονται, ἣ τὸν
Ὀδυσσέα ἐς τὴν Ἰθάκην ἐκόμισεν, ἡνίκα ξεναγεῖσθαι αὐτὸν ἐνταῦθα
ξυνέβη. καίτοι οὐ μονοειδὲς τὸ πλοῖον τοῦτό ἐστιν, ἀλλὰ ἐκ λίθων ὅτι
10 μάλιστα πολλῶν ξύγκειται. καὶ γράμματα ἐν αὐτῷ ἐγκεκόλαπται καὶ
διαρρήδην βοᾷ τῶν τινα ἐμπόρων ἐν τοῖς ἄνω χρόνοις ἱδρύσασθαι τὸ B 576
ἀνάθημα τοῦτο Διὶ τῷ Κασίῳ. Δία γὰρ Κάσιον ἐτίμων ποτὲ οἱ τῇδε
ἄνθρωποι, ἐπεὶ καὶ ἡ πόλις, ἐν ᾗ τὸ πλοῖον τοῦτο ἕστηκεν, ἐς τόνδε τὸν

1. φησὶ *D* νεώς *MCDmf, H (in marg.* νηώς*)* νηώς *Wvf (marg.), P* νεώς (ή *soprascr. di pr. m.) V* 2. μὲν ἡμῖν *MCDmf (marg.), H* 5. αὐτῆς *W (corr.) L* μεταβάλλει *D* πλεῖον *D* 6. φαιάκων *WvVf (marg.), Reg.* πεποιημένου *W* 7. ταύτης] *WvVf (marg.), Reg.* ταύτῃ *gli altri codd.* (ταύτην *D) e le edd.* ἀκτὴν ἐκεῖνο τινὲς οἴονται εἶναι, ὃ τὸν *WvVf (marg.), Reg.* 8. ξυναγεῖσθαι *f (corr.)* 9. πλεῖον *D* τοῦτό ἐστιν] *WvVf (di terza m.)* τοῦτο ἔστιν *Mf* τοῦτο ἐστὶν *CDmf (di sec. m.) L* τοῦτ' ἔστιν *le edd.* 11. βοᾶν *W* 12. βαδίω *per* Κασίῳ *D* καίσιον *C* καδί *D* 13. πλεῖον *D* ἔστηκε *WvV* 13-1 *(p. 170). Le parole* ἐς τόνδε τὸν χρ. *om. WvV*

modo, sprovvisto com' era di nave, potesse trapassarvi. Ma son cose queste che noi diamo per congetture, non essendo facile per fatti tanto antichi cogliere esattamente nel vero, poichè il lungo tempo suol trasmutare non solo i nomi dei paesi, ma anche l' idea che se ne ha. Quella nave infatti di pietra bianca che si vede sul lido della terra dei Feaci, credon taluni sia la nave che recò Ulisse a Itaca, allorchè egli venne colà ospitalmente provveduto pel ritorno. Eppure quella nave non è già tutta d' un pezzo, ma è composta di ben molte pietre, e vi sono inoltre delle lettere scolpite, le quali proclamano a chiare note che un mercatante nei tempi passati la fece costruire come sacra offerta a Giove Casio; poichè gli abitanti di quel paese anticamente veneravano Giove Casio, ond' è che la città ove trovasi questa nave chiamasi fino ad oggi

χρόνον Κασώπη ἐπικαλεῖται. τοῦτον δὲ τὸν τρόπον ἐκ λίθων πολλῶν καὶ ἡ ναῦς ἐκείνη πεποίηται, ἣν Ἀγαμέμνων ὁ τοῦ Ἀτρέως τῆς Εὐβοίας ἐν Γεραιστῷ ἀνέθηκε τῇ Ἀρτέμιδι, ἀφοσιούμενος κἀν τούτῳ τὴν ἐς
H 355 αὐτὴν ὕβριν, ἡνίκα διὰ τὸ τῆς Ἰφιγενείας πάθος τὸν ἀπόπλουν ἡ Ἄρτεμις ξυνεχώρει τοῖς Ἕλλησιν. ἃ δὴ γράμματα ἐν πλοίῳ τούτῳ ἢ τηνικάδε ἢ ὕστερον ξυσθέντα δηλοῖ ἐν ἑξαμέτρῳ. ὧν τὰ μὲν πλεῖστα ἐξίτηλα χρόνῳ τῷ μακρῷ γέγονε, τὰ δὲ πρῶτα καὶ ἐς τόδε διαφαίνεται λέγοντα ὧδε 5

Νῆά με λαϊνέην ἱδρύσατο τῇδ' Ἀγαμέμνων,
Ἑλλήνων στρατιῆς σῆμα πλοϊζομένης.

V 223 καὶ ἐν ἀρχῇ ἔχει « Τύννιχος ἐποίει Ἀρτέμιδι Βολοσίᾳ ». οὕτω γὰρ 10 τὴν Εἰλείθυιαν ἐν τοῖς ἄνω χρόνοις ἐκάλουν, ἐπεὶ καὶ βολὰς τὰς ὠδῖνας ὠνόμαζον. ἐμοὶ δὲ αὖθις ὅθενπερ ἐξέβην ἰτέον.

1. « κασιώπη *I. Sc.* » *f (marg.)* καλεῖται *Wv* 1-12. *Le parole* τοῦτον - ὠνόμαζον *om. WvV (in marg. si legge:* λείπει τινά*) L* 3. γερεστῷ *MCDm f, HP* κἂν *D* 7. γέγονεν *D* 8. Νῆά με λαϊνέην] *Gomperz (Wiener Studien, II, 1880, p. 6 sgg.)* νῆα μελαίνην *MCmf* νῆα μελαίνη *D* Νῆα μέλαιναν *le edd.* ἱδρύσαντο *D* τῇδε *D* τήνδ' *Grozio presso Bosch, Plan. anthol. III, 442.* 9. πληιζομένης *Dmf* 10. ἐν ἀρχῆς *mf, H* Τύννιχος] *Welcker, Syll. epigr. p. 226, B* τύνιχος *MCDmf* Τήνιχ. *HP; cf. Preger, Inscr. gr. metr. ex scriptorib. n. 104.* 11. εἰλήθειαν *D* ὠδεῖνας *D* 12. ὠνόμαζον] *B; cf. Etym. magn. s. v.* Βολωσία *(sic)* ἐνόμιζον *MCDmf, HP* ὅπερ *D*

Casope (Cassiope). A questa maniera stessa di molte pietre fu costruita quella nave cui l' Atride Agamennone consacrò ad Artemide in Geresto di Eubea, espiando anche così l' offesa a lei fatta, allorchè, grazie alla morte di Ifigenia, Artemide permise ai Greci di salpar colle navi; cosa che è dichiarata in quella nave da una iscrizione in esametri che o allora o più tardi vi fu scolpita. Il tempo ne ha cancellato la più gran parte, ma il principio si legge tuttora chiaramente così:

Son la marmorea nave cui qui Agamennone pose
A ricordar de' Greci quando salpò l' armata.

E in cima vi è scritto « Tynnicho fece per Artemide Bolosia », poichè questo nome davano nei tempi passati ad Eileithyia, chiamandosi allora bolai i dolori del parto. Ma io debbo tornare là donde mi son dipartito.

Ἐπειδὴ ἐς τὴν Κέρκυραν οὗτος ὁ Γότθων στόλος ἀφίκετο, αὐτήν
τε ἦγον καὶ ἔφερον ἐξ ἐπιδρομῆς καὶ ὅσαι ἄλλαι αὐτῇ νῆσοι ἐπίκεινται,
αἳ Συβόται καλοῦνται· διαβάντες δὲ καὶ ἐς τὴν Ἤπειρον ἐξαπιναίως
ἅπαντα ἐληΐζοντο τὰ ἀμφὶ Δωδώνην χωρία καὶ διαφερόντως Νικόπολίν B 577
5 τε καὶ Ἄγχισον, οὗ δὴ Ἀγχίσην, τὸν Αἰνείου πατέρα, ἐξ Ἰλίου ἁλού-
σης ξὺν τῷ παιδὶ πλέοντά φασιν οἱ ἐπιχώριοι ἐξ ἀνθρώπων ἀφανισθῆναι
καὶ τὴν ἐπωνυμίαν τῷ χωρίῳ δοῦναι. περιιόντες δὲ τὴν παραλίαν ὅλην
καὶ ναυσὶν Ῥωμαίων ἐντυχόντες πολλαῖς αὐτοῖς φορτίοις ἁπάσας εἷλον.
ἐν ταῖς εἶναι ξυνέβη καὶ τῶν νηῶν τινας, αἳ τῇ Ναρσοῦ στρατιᾷ ἐκ τῆς
10 Ἑλλάδος τὰ ἐπιτήδεια ἔφερον. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

κγ'. Τωτίλας δὲ πολλῷ πρότερον Γότθων στράτευμα ἐς Πικηνοὺς P 630
ἐτύγχανε πέμψας, ἐφ' ᾧ δὴ τὸν Ἀγκῶνα ἐξελοῦσιν· οἷς δὴ ἄρχοντας

1. κέρκιραν *D* 2. ἔφορον *D* τήσσω *per* νῆσοι *D* ἐπίκηντ. *MCDmf (corr. di sec. m.)* 3. σύνται *MCDmf, H* συμβόντα *WvVf (marg.), Reg.* εἰς *WvVL* 5. Ἄγχισον] *PB* ἀγχίαλον *i codd., H L'* Ἀγχίσου λιμὴν *di Epiro, di cui qui si tratta, fu però chiamato* Ὄγχεσμος, *non* Ἄγχισος, *di cui non v' ha esempio.* ἀγχίδην *D* ἀγχίσιν *W (corr.) v V* 6. πλέοντας *i codd.* 7. παριόντες *van Herwerden* 8. ναυσὶ *WvV, Reg.* Ῥωμαίων] *WvVf (marg.), Reg.* ἑλλήνων *gli altri codd. e le edd.* φρον(ορ)τίοις *W* 9. αἷς *per* ταῖς *WvVf (marg.), Reg.* τὴν — στρατιὰν *D* 11. τουττίλας *WvV* τουτίλλας *L* πιγκηνοὺς *MCm* πηγκηνοὺς *D* πιγκινοὺς *f (corr. in marg.), H (id.)* Πικήνους *P* 12. *Il primo* δὴ *soprascr. f*

Giunta che fu questa flotta dei Goti a Corcyra, subito quella misero a sacco, come pur tutte le altre isole adiacenti, chiamate Sybote. Passati anche nell' Epiro all' improvviso, depredarono le località prossime a Dodona e singolarmente Nicopoli ed Anchiso, là dove gl' indigeni dicono che Anchise, padre di Enea, giunto per nave dopo la presa d' Ilio, uscisse di vita, dando quindi il nome a quel luogo. Corseggiaron poi tutto il littorale e scontratisi in molte navi romane, tutte le catturarono insiem col carico; fra le quali trovavansi anche talune che dalla Grecia recavan vettovaglie all' esercito di Narsete. Tanto adunque avveniva colà.

XXIII. Già assai prima Totila avea spedito nel Piceno un esercito di Goti perchè s' impadronisse di Ancona, dandogli

τοὺς ἐν Γότθοις ἅπασι δοκιμωτάτους ἐπέστησε, Σκιπούαρ τε καὶ Γίβλαν
καὶ Γουνδοὺλφ, ὅσπερ Βελισαρίου δορυφόρος ἐγεγόνει ποτέ. τινὲς δὲ
αὐτὸν Ἰνδοὺλφ ἐκάλουν. οἷς δὴ καὶ πλοῖα μακρὰ ἑπτὰ καὶ τεσσαρά-
κοντα ἔδωκεν, ὅπως τὸ φρούριον κατὰ γῆν τε καὶ θάλασσαν πολιορ-
κοῦντες ῥᾷόν τε καὶ ἀπονώτερον τὴν αὐτοῦ ἐπικράτειαν θήσονται. 5
χρόνου δὲ ταύτῃ τῇ προσεδρείᾳ τριβέντος συχνοῦ, ξυνέβαινε τοὺς πο-
λιορκουμένους τῇ τῶν ἀναγκαίων ἀπορίᾳ πιέζεσθαι. ἅπερ ἐπεὶ Βαλε-
ριανὸς ἔμαθεν, ἐπὶ Ῥαβέννης διατριβὴν ἔχων, ἀμύνειν τε κατὰ μόνας
τοῖς ἐν τῷ Ἀγκῶνι Ῥωμαίοις οὐχ οἷός τε ὤν, πέμψας πρὸς Ἰωάννην
τὸν Βιταλιανοῦ ἀδελφιδοῦν ἐπὶ Σαλώνων ὄντα ἔγραψε τάδε « Μόνος ὁ 10
B 578 « Ἀγκὼν ἡμῖν τοῦ κόλπου ἐντὸς ἀπολέλειπται, ὡς αὐτὸς οἶσθα, εἴπερ
« ἔτι μὴν ἀπολέλειπται. οὕτω γὰρ τοῖς ἐν τούτῳ Ῥωμαίοις πικρότατα
« πολιορκουμένοις τὰ πράγματα ἔχει ὥστε δέδοικα μὴ βοηθοῦντες

1. ἅπασι *om.* *WvV* δοκιμωτάτοις *f (corr. di sec. m.)* σκιπόρναν *D* σκυ-
ποῦαρ *WvV* σκιπόναρ *m* σκυπούαρ *f (marg.)* γίβαλ *WvVf (marg.), Reg.*
2. γουνδοὺλ *MCDWvVmf, H* συνδοὺλ *f (marg.)* σουνδοὺλ *L* 2-3. *Le parole*
τινὲς - ἐκάλουν *om.* *MCDmf (agg. in marg.)* 3. ἰνδοὺλ *WvVf (marg.) L, H*
5. ἑαυτοῦ *L* 6. προσεδρία *D* συνέβαινε *WL* 10-11. Μόνος - ἡμῖν] *WvVL*
ὅτι μόνος ἡμῖν ὁ ἀγκὼν *gli altri codd. e le edd.* 11. τοῦ ἐν. *WvVL* ὡς] *Wv
Vf (marg.) L, HP* καὶ *B* 11-12. *Le parole* ὡς - ἀπολ. *om.* *MCDmf (agg.
in marg.)* 12. νῦν *per* μὴν *WvV* δὴν *L, H* γοῦν *per* γὰρ *MCDmf (corr. in
marg.), H* τοὺς *per* τοῖς *WvVL* · τῷ *per* τούτῳ *L* ῥωμαίους *WvVL* 13. πο-
λιορκουμένους *WvVL* φοβηθοῦντες (-θοῦντες *in rasura*) *W* φοβηθέντ. *f (marg.) L*

a capi i più rinomati fra tutti i Goti, Scipuar e Gibla e Gundulfo,
il quale un tempo era stato lancia spezzata di Belisario; altri
chiamavanlo Indulfo. A costoro diede anche quarantasette navi
lunghe, perchè assediando il castello da terra e da mare più fa-
cilmente e con minor travaglio potessero impadronirsene. Pro-
traendosi questo assedio assai lungamente, gli assediati comin-
ciarono a soffrire per la penuria di vettovaglie. Informato di
ciò Valeriano, il quale trovavasi in Ravenna, non essendo in
grado di recar soccorso da solo ai Romani d'Ancona, spedì messi
a Giovanni, nipote di Vitaliano, che trovavasi a Salona, scri-
vendogli così: « Al di qua del golfo Ionio niente altro ci rimane
« se non Ancona, come già ben sai, seppur questa tuttavia ci
« rimane; poichè i Romani colà strettamente assediati sono a

«ἔξωροι ὦμεν, ὀπίσω τοῦ καιροῦ τὴν σπουδὴν ἔχοντες, ἕωλόν τε τὴν «ὑπὲρ αὐτοῦ προθυμίαν ποιούμενοι. ἀλλὰ παύσομαι. ἡ γὰρ τῶν «πολιορκουμένων ἀνάγκη μακροτέραν τὴν ἐπιστολὴν οὐκ ἐᾷ γίνεσθαι «τὸν χρόνον ἐφ' ἑαυτὴν ἀκριβῶς σφίγγουσα καὶ ὁ κίνδυνος ὀξυτέραν
5 «τοῦ λόγου τὴν ἐπικουρίαν ζητῶν». ταύτην Ἰωάννης ἀναλεξάμενος τὴν ἐπιστολὴν, καίπερ αὐτῷ πρὸς βασιλέως ἀπορρηθὲν, αὐτοκέλευστος ἐτόλμα ἰέναι, τῶν οἱ πρὸς αὐτοκράτορος ἐπηγγελμένων προὐργιαιτέραν τὴν ἀπὸ τῆς τύχης στενοχωρίαν πεποιημένος. ἄνδρας τε ἀπολεξάμενος, οὓς πάντων μάλιστα ἀγαθοὺς τὰ πολέμια ᾤετο εἶναι, καὶ αὐ-
10 τῶν ὀκτὼ καὶ τριάκοντα πλοῖα μακρὰ ἐμπλησάμενος πλέοντά τε ὡς τάχιστα καὶ πρὸς πόλεμον τὸν ἐν θαλάσσῃ ὡς ἄριστα πεποιημένα, ἔνιά τε αὐτοῖς τῶν ἐπιτηδείων ἐνθέμενος, ἄρας ἐκ Σαλώνων τῷ στόλῳ Αἰνώνῃ προσέσχε. οὗ δὴ καὶ Βαλεριανὸς ξὺν ναυσὶ δώδεκα οὐκ ἐς μακρὰν ἦλθεν.

1. ὀπίσου *WvV* ἐπίσου *f (marg.) L* 1-5. *Le parole* ἕωλόν – ζητῶν *om. WvVL* 4. σφίγγουσαν *D* 6. αὐτοκέλευτος *L* 7. αὐτοκράτορα *D* προυργιαίτεραν *D* πουργιαιτέραν *W* πρὸ͂ργιαιτέραν *v* 8. στενοχορίαν *D* 9. μάλιστα πάντων *WvVf (marg.) L* 12-13. στόλῳ Αἰνώνῃ] στόλῳ *WvVf (marg.), Reg.* ἀγκῶνι *MCDmf, H* Σκαρδῶνι *PB* *Maltreto propone anche* Πόλῃ; Αἰνῶνα (*Ptolem.*), *facilmente qui corrotto in* ἀγκῶνι, *oggi Nona, sta dirimpetto a Sinigallia.* 13. ξὺν ναυσὶ *W*

«tale ridotti che io temo il nostro soccorso giunga fuori di «tempo, mostrandoci troppo tardi volonterosi per essa. Di più «non ti dico, poichè le strettezze in cui trovansi gli assediati «non permettono di scriverti più lungamente, reclamando per «sè tutto il tempo, e l'entità del periglio richiedendo altro soc«corso che di parole». Letto che ebbe ciò Giovanni, di propria autorità, malgrado il divieto dell'imperatore, osò mettersi in via, convinto di dover piuttosto guardare alle urgenti strettezze del caso che alle ingiunzioni imperiali; e scelti quanti uomini a lui parver più forti guerrieri, e caricatene trentotto navi lunghe di rapido corso, ed ottimamente costruite per guerra marittima, messavi su anche alquanta vettovaglia, salpò da Salona ed approdò colla flotta ad Enona, ove poco dopo giunse anche Valeriano con dodici navi.

Ἐπειδὴ δὲ ἀλλήλοις ξυνέμιξαν, κοινολογησάμενοί τε καὶ τὰ σφίσι
P 631 B 579 ξύμφορα δόξαντα εἶναι βεβουλευμένοι, ἐνθένδε μὲν ἀποπλέουσιν, ἐς δὲ
ἤπειρον τὴν ἀντιπέρας κατάραντες ἐς χωρίον ὁρμίζονται, ὃ δὴ Σενογαλλίαν Ῥωμαῖοι καλοῦσι, τοῦ Ἀγκῶνος οὐ πολλῷ ἄποθεν. ὅπερ ἐπεὶ
οἱ Γότθων στρατηγοὶ ἔμαθον, πλοῖα μακρὰ καὶ αὐτοὶ τὰ σφίσι παρόντα, 5
ἑπτὰ καὶ τεσσαράκοντα ὄντα, Γότθων τῶν λογίμων αὐτίκα ἐπλήρουν.
V 224 τὸ δὲ ἄλλο στράτευμα ἐπὶ τῇ προσεδρείᾳ τοῦ φρουρίου ἀπολιπόντες
εὐθὺ τῶν πολεμίων ἐχώρουν. ἡγεῖτο δὲ τῶν μὲν ἐπὶ τῇ πολιορκίᾳ
μεμενηκότων ὁ Σκιπούαρ, τῶν δὲ δὴ ἐν ταῖς ναυσὶν ὄντων Γίβλας τε
καὶ Ἰνδούλφ. ἐπειδή τε ἄγχιστα ἀλλήλων ἐγένοντο, τάς τε ναῦς 10
ἑκάτεροι ἀνεκώχευον καὶ ξυναγαγόντες αὐτὰς ἐς ὀλίγον παραίνεσιν ἐς
τοὺς στρατιώτας ἐποιοῦντό τινα. πρῶτοί τε Ἰωάννης καὶ Βαλεριανὸς
ἔλεξαν τοιάδε «Μηδεὶς ὑμῶν, ὦ ξυστρατιῶται, ὑπὲρ τοῦ Ἀγκῶνος τούτου
«μόνου καὶ τῶν ἐν αὐτῷ πολιορκουμένων Ῥωμαίων ἀγωνιεῖσθαι τανῦν

1-2. ξυνέμιξαντα εἶναι (*om. le parole* κοινολ. - ξύμφορα δό-) *D* 2. βεβουλημένοι *WL* 3. ἰσχωρίον *D* 3-4. ὃ δρησὸν οἱ ἐκ γαλίας *MCDmf*, *H* ὃ δῦσιν ἐς γαλίας (λ) *W* ὃ δύσιν ἐς γαλλίας *v* ὃ δῦσιν ἐς γαλλίας *V* «ὃ δὴ σενογαλίαν *I. Sc.*» *f (marg.)* 6. τῶν *om. D* 8. εὐθὺς *D* 9. ναυσὶ *DW* γίβαλ *WvV* γιβάλ *f (marg.) L* 10. γουνδούλφ *WvVf (marg.) L* ἰλδούφ *f*, *H* *Il primo* τε *om. D* ἄγχιστα *om. MCDWvVmf* 12. τινα *om. MCDmf (agg. in marg.)* πρῶτον *f (marg.)*, *Reg.* 13. τοιᾶδε *D* 13-14. μόνου τούτου *WvVL* 14. ἀγωνεῖσθαι *WvV* τονῦν *MCDmf (corr. in marg.)*, *H (id.)*

Unitisi assieme e concertatisi circa il meglio che fosse da fare, salparon di là e giunti al continente opposto ormeggiaronsi in una località poco distante da Ancona, chiamata dai Romani Sinigallia. Appreso che ebber ciò i duci dei Goti, le navi lunghe che aveano, quarantasette di numero, empirono anch' essi dei migliori fra i Goti, e lasciato il resto dell' esercito all' assedio del castello, tosto mossero contro i nemici. I rimasti all' assedio erano comandati da Scipuar; quelli che eran sulle navi, da Gibla e Indulfo. Giunti che furono in prossimità gli uni degli altri trattennero le navi, e raccoltele arringarono le truppe. Pei primi Giovanni e Valeriano parlarono a loro così: «Niun di voi, o «commilitoni, deve credere di combattere ora per questa Ancona «soltanto e pei Romani ivi assediati, e che a ciò si limiti l' im-

« οἰέσθω, μηδὲ ἄχρι τοῦδε ἀποκριθήσεσθαι ἡμῖν τὰ τῆς ξυμβολῆς τῆσδε, H 356
« ἀλλὰ ξύμπαν, ὡς ξυνελόντας εἰπεῖν, τὸ τοῦ πολέμου κεφάλαιον ἐνταῦθα
« ἑστάναι, ἔνθα τε ἂν ἀποκλῖναι ξυμβαίη τὴν μάχην, ξυγκληροῦσθαι αὐτῇ
« καὶ τῆς τύχης τὸ πέρας. οὑτωσὶ γὰρ περὶ τῶν παρόντων σκοπεῖσθε·
5 « πολλή τις ἐπὶ ταῖς δαπάναις ἀπόκειται τοῦ πολέμου ῥοπή, τούς τε τῶν
« ἐπιτηδείων σπανίζοντας ἡττᾶσθαι τῶν πολεμίων ἐπάναγκες. λιμῷ γὰρ
« οὐκ οἶδεν ἡ ἀρετὴ ξυνοικίζεσθαι, πεινῆν τε καὶ ἀνδραγαθίζεσθαι οὐκ
« ἀνεχομένης τῆς φύσεως. τούτων δὲ τοιούτων ὄντων ἄλλο μὲν οὐδὲν B 580
« ὀχύρωμα ἡμῖν ἐκ τοῦ Δρυοῦντος ἐς Ῥάβενναν ἀπολέλειπται, ὅπη ἂν
10 « τὰ ἐδώδιμα ἡμῖν τε καὶ ἵπποις τοῖς ἡμετέροις ἀποκεῖσθαι δεήσει, οὕτω
« τε οἱ πολέμιοι κρατοῦσι τῆς χώρας ὥστε φίλιον οὐδὲν μεμένηκεν ἡμῖν
« ἐνταῦθα χωρίον, ὅθεν ἂν καὶ κατὰ βραχὺ τῶν τι ἐπιτηδείων ἐκπορί-

1. τὰ *om.* *WvV* τὴν ξυμβολὴν τήνδε *WvVf (marg.), Reg.* 2. ξυνελθόντας *Df* συνελόντας *WvVL* ξυνελόντας *m* 3. ἑστᾶναι *W* ἀπόκλῖναι *W* καὶ τὴν *f (marg.)* ξυγκληροῦσθαι] *MCDmf, HP* συγκληροῦσθαι *WvV* συγκυροῦσθαι *f (marg.) L* ξυγκυροῦσθαι *Reg., B* 4. σκοπεῖσθε] *WvVf (marg.), Reg., B* σκοπεῖται *MCDmf, H* σκοπεῖτε *P* 5. *Le parole* πολλή - ἀπόκειται *om.* *MCDmf (agg. in marg.), H* ἡ τοῦ *MCDmf, H* 6. λοιμῷ *V (corr.)* 7. ἀρετῇ *D* 8. δὲ δὴ *Dmf* (δὲ [δὴ] *marg.*) οὐδὲν *om.* *WL; in parent. f di sec. m.* 9. εἰς *C* ῥάβεναν *W* 10. τοῖς ἵπποις *P* ἵπποις *om.* *MCDmf (agg. in marg.), H (id.)* τοῖς] *MCDWvVmf; om. L, PB* 11. δὲ *per* τε *WvV*

« portanza per noi di questo conflitto; ma che piuttosto, a dirla
« in breve, tutta la somma della guerra qui si riduca, talchè là
« dove la pugna pieghi alla vittoria, ivi pure la sorte definitiva
« venga conseguita. Ed infatti, mirate alle presenti condizioni
« quali esse sono. L'esito della guerra molto dipende dall'ap-
« provigionamento, e coloro che sono scarsi a vettovaglie è pur
« d'uopo vengano superati dai nemici, poichè la fame ed il va-
« lore non sanno andar insieme, nè la natura ammette il poter
« operar prodezze mentre si è affamati. Stando così la cosa, da
« Otranto a Ravenna a noi non rimane altra fortezza ove pos-
« siamo deporre le vettovaglie per noi e pei cavalli, e i nemici
« han preso talmente sotto lor dominio il paese, che ivi non ri-
« mane per noi neppur un villaggio amico dal quale anche per
« poco s'abbia da trar provigioni. Tutta la nostra aspettazione

« ζεσθαι χρή. ἐς δὲ τὸν Ἀγκῶνα ἡμῖν ἡ προσδοκία μεμένηκε πᾶσα,
« τοῦ καὶ τοῖς ἐξ ἠπείρου τῆς ἀντιπέρας καταίρουσιν ἐνταῦθα προσχεῖν
« δυνατοῖς εἶναι καὶ ἀσφάλειαν ἔχειν. οὐκοῦν εὐημερήσαντες ἐν τῇ ξυμ-
« βολῇ σήμερον καὶ βασιλεῖ τὸν Ἀγκῶνα, ὡς τὸ εἰκὸς, κρατυνάμενοι τάχα
« ἂν καὶ τἆλλα τοῦ πρὸς Γότθους πολέμου ἐν ἐλπίσιν ἀγαθαῖς τὸ λοιπὸν 5
« ἕξομεν. σφαλέντες δὲ ἐν ταύτῃ τῇ μάχῃ, ἄλλο μέντοι πικρὸν οὐκ ἂν
« εἴποιμεν, ἀλλὰ δοίη τὴν Ἰταλίας ἐπικράτησιν ὁ θεὸς Ῥωμαίοις διηνεκῆ
« εἶναι. κἀκεῖνο δὲ ὑμῖν λογίζεσθαι ἄξιον, ὡς κακοῖς ἐν τῷ ἔργῳ γινο-
« μένοις ὑμῖν οὐδὲ ἀποφεύγειν ἐξόν. οὔτε γὰρ τὴν γῆν ἕξετε πρὸς τῶν
« ἐναντίων κατειλημμένην οὔτε τὴν θάλασσαν πλώϊμον, οὕτω θαλασσο- 10
« κρατούντων τῶν πολεμίων, ἀλλὰ περιέστηκεν ὑμῖν ἡ τῆς σωτηρίας
« ἐλπὶς ἐν ταῖς χερσὶν οὖσα καὶ ξυμμεταβαλλομένη τοῖς κατὰ τὴν ἀγώ-
« νισιν ἔργοις. ἀνδραγαθίζεσθε τοίνυν ὅση δύναμις, τοῦτο ἐκεῖνο ἐκλο-

1. *Le parole* ἡμῖν *(p. 175, r. 11)* ἐνταῦθα, *ecc., dopo* μεμένηκε, *ripete D* 2. ὅπου *per* τοῦ *f (marg.) L* τῆς *per* τοῖς *W* 3. ἐν ἀσφαλεῖ *per* καὶ ἀσφ. *W v V L* ἔσχεν *D* ἔχει *L (corr.)* εὐημερίσαντες *D* 4. τήμερον *W v V L* κρατυνόμενοι *W L* 5. τὰ ἄλλα *D W v V L* τοὺς πρὸς *(sic) C* πολέμου ἐν *om. D* ἐν *om. f (agg. in marg.)* ἀγαθοῖς *D* ἀγαθες *W (corr.)* 7. ἰταλίαν *D* ῥωμαίων διηνεκὲς *W v V L* 8. κἀκεῖνο λογίζεσθαι ἡμῖν *W v V L* ἡμῖν *M C D m f* 9. ἡμῖν *M C D W m f L* γῆν *om. D* 10. ἐναντίον *(sic) W* πλόϊμον *v V* 11. ῥωμαίων· τῶν πολ. *W v* ῥωμαίων *per* πολεμίων *V (in marg.* πολεμίων*)* ἡμῖν *M C D W v V m f* 13. ἀνδραγαθίζεσθαι *V (corr.)*

« si concentra quindi in Ancona, ove chi venga dal continente
« opposto può pure approdare e trovarsi in sicurezza; ond' è
« che se riesca felicemente per noi questa pugna di oggi, assicu-
« rata come devesi Ancona all' imperatore, avrem buona speranza
« di presto riuscire in tutta la restante guerra contro i Goti. Se
« invece riusciam perditori, altro di acerbo non vogliam dire, ma
« conceda Iddio che a lungo rimanga ai Romani il dominio del-
« l' Italia. Ed anche conviene consideriate, che se non combattete
« a modo, non vi sarà scampo per voi, poichè non potrete andar
« per terra, tutta occupata dai nemici, nè navigar pel mare ov' essi
« tal dominio hanno già; ma la speranza della vostra salute è
« nelle vostre mani, ed essa dovrà andarsi mutando secondo le
« vicende della pugna. Ordunque combattete da prodi con ogni

« γιζόμενοι, ὡς ἡσσηθέντες μὲν ἐν τῷ παρόντι τὴν ὑστάτην ἧτταν κλη-
« ρώσεσθε, νενικηκότες δὲ μετὰ τῶν ἄγαν εὐδαιμόνων ξὺν τῇ εὐκλείᾳ B 581
« τετάξεσθε ».

Ἰωάννης μὲν καὶ Βαλεριανὸς τοσαῦτα εἶπον. καὶ οἱ Γότθων δὲ P 632
5 ἄρχοντες τοιάνδε τὴν παράκλησιν ἐποιήσαντο « Ἐπειδὴ πάσης ἀπεληλαμένοι τῆς Ἰταλίας καὶ πολύν τινα χρόνον οὐκ ἴσμεν ἐν ὁποίοις ποτὲ
« μυχοῖς οἵδε οἱ κατάρατοι τῆς γῆς ἢ τῆς θαλάσσης διαλαθόντες, τανῦν
« ἡμῖν τετολμήκασιν ἐς χεῖρας ἰέναι, καὶ ὡς ἀναμαχόμενοι ἐφ' ἡμᾶς
« ἥκουσιν, ἐπάναγκες αὐτοῖς τὸ ἐκ τῆς ἀβουλίας ἐγγενόμενον θράσος
10 « ἀναχαιτίζειν προθυμίᾳ τῇ πάσῃ, ὡς μὴ ἐνδιδόντων ἡμῶν τὰ τῆς ἀπο-
« νοίας αὐτοῖς ἐς μέγα χωροίη. ἀμαθία γὰρ οὐ κατ' ἀρχὰς ἀναστελ-
« λομένη ἀναβαίνει μὲν ἐπ' ἄπειρον τόλμαν, ἐς ἀνηκέστους δὲ τῶν
« παραπιπτόντων τελευτᾷ ξυμφοράς. δείξατε τοίνυν αὐτοῖς ὅτι τάχιστα
« ὡς Γραικοί τε εἰσι καὶ ἄνανδροι φύσει καὶ ἡσσημένοι θρασύνονται,

1-2. κληρώσασθαι *D* κληρώσεσθαι *m (corr. di m. rec.)* κληρωθήσεσθε *f (marg.), Reg.* 5. τοιάδε *WvV* ἐποιήσατο *Wv* 5-6. ἀπεληλάμενοι *WvV* 7. οἵδε] οἷδε *(sic) WvVL* ἦσαν *gli altri codd. e le edd.* τῆς γῆς] *WvVL* τῆς *om. gli altri codd. e le edd.* 8. τετολμήκασι *D* ἀναμαχούμενοι *WvVL* ὑμᾶς *WvV* 9. ἥκασιν *MCDmf, HP* ἐκ βουλῆς τῆς ἀβουλείας *D* 13. περιπιπτόντων *van Herwerden* συμφοράς *WvVL*

« potere, riflettendo che se siate vinti sarà questa l' ultima vostra
« disfatta, se vincitori voi sarete annoverati fra i fortunati e fra
« i gloriosi ».

Tanto dissero Giovanni e Valeriano. I duci goti alla lor volta arringarono i loro così: « Dacchè questi sciagurati che ave-
« vamo scacciati via da tutta l' Italia, e per molto tempo si ten-
« ner nascosti in non sappiam quali recessi di terra o di mare,
« ora ardiscono venir con noi alle mani e provocarci a nuova bat-
« taglia, è d' uopo con ogni potere rintuzzare questa sconsigliata
« loro audacia affinchè la loro pazza temerità non abbia a crescere
« per troppa nostra indulgenza. Imperocchè l' insania non re-
« pressa dal principio si solleva ad illimitata baldanza e finisce col
« procacciare le più gravi sciagure a chi vi si avvenga. Ordunque
« mostrate loro al più presto che essi altro non sono se non Gre-
« cucci ed imbelli di natura e tali che fan da bravi dopo averne

« μηδὲ ξυγχωρήσητε τὴν διάπειραν αὐτοῖς πρόσω ἰέναι. ἀνανδρία γὰρ
« καταφρονηθεῖσα ἐπὶ παρρησίαν ἐξάγεται μείζω, ἐπεὶ τῷ προϊέναι τὸ
« θράσος ἄοκνον γίνεται. ἐπὶ πολὺ δὲ ἀνθέξειν αὐτοὺς ἀνδραγαθιζο-
« μένοις ὑμῖν μηδαμῶς οἴεσθε. φρόνημα γὰρ τῇ δυνάμει τῶν αὐτῷ
« χρωμένων μὴ ξυμμετρούμενον πρὸ μὲν τοῦ ἔργου ἐπαιρόμενον ἐν ἀκμῇ 5
« φαίνεται, ἀρξαμένης δὲ τῆς ξυμβολῆς καταρρεῖν εἴωθεν. ὅτε τοίνυν
« ταῦτα οὕτως ἔχει, ἀναμνήσθητε μὲν ὅντινα τρόπον οἱ πολέμιοι πολ-
B 582 « λάκις ἀποπειρασάμενοι τῆς ἀρετῆς τῆς ὑμετέρας ἀπήλλαξαν, ἐκλογί-
« ζεσθε δὲ ὡς οὐκ ἀμείνους ἐκ τοῦ αἰφνιδίου γεγενημένοι ἐφ' ἡμᾶς
« ὥρμηνται, ἀλλὰ τὰ παραπλήσια τοῖς προλαβοῦσι τετολμηκότες, τὴν 10
« ὁμοίαν καὶ νῦν κληρώσονται τύχην ».

V 225 Τοσαῦτα καὶ οἱ τῶν Γότθων ἄρχοντες παρακελευσάμενοι καὶ τοῖς
πολεμίοις ὑπαντιάσαντες μελλήσει οὐδεμιᾷ ἐς χεῖρας ἦλθον. ἦν δὲ ἡ
ναυμαχία ἐς ἄγαν ἰσχυρά, πεζομαχίᾳ ἐμφερὴς οὖσα. τάς τε γὰρ ναῦς

1. συγχωρ. *WvV* 3. θάρσος *WvVf (marg.) L* 5. συμμετρ. *WvVL* πρὸς μεζοῦ *D* 8. ἡμετέρας *DWvL* ἀπήλαξαν *W (corr.)* 9. ὑμᾶς *WvVL* 11. ὁμίαν *D* 12. παρακελευσάμενοι *om. L* 12–13. τοὺς πολεμίους *D* 13. μελήσει *MCDmf (corr.)* ἦν *W* τε *per* δὲ *WvVL* 14. πεζομαχίας ἰσχυροτέρα οὖσα *MCDmf (corr. in marg.), H (id.)*

« toccate, nè permettete che vadan più oltre con loro tentativi.
« Poichè la vigliaccheria tenuta in non cale prende ardire e si fa
« più temeraria, e col procedere la temerità prende energia. E
« combattendo voi da prodi non crediate che a lungo vi resiste-
« ranno. Poichè la baldanza non proporzionata alle forze di chi
« l'adopra, esaltandosi prima di venire all' opera, pare gran cosa,
« ma cominciata la pugna suol tosto cader prostrata. Stando
« dunque così le cose, voi abbiate in mente in qual modo i ne-
« mici più volte abbiano indietreggiato dinanzi al vostro valore,
« e pensate che ora vengon contro di voi non divenuti ad un
« tratto migliori di prima. Ma dacchè ardiscono mettersi ad
« intrapresa simile alle passate, avranno anche ora la sorte me-
« desima ».

Dopo questa esortazione i duci dei Goti mossero contro i
nemici ed incontinente vennero alle mani, e fu battaglia navale
aspra e simile a battaglia di terra; poichè d' ambo le parti, te-

μετωπηδὸν ἀντιπρῴρους ταῖς τῶν ἐναντίων ἑκάτεροι στήσαντες τὰ το-
ξεύματα ἐς ἀλλήλους ἀφίεσαν, καὶ αὐτῶν ὅσοι ἀρετῆς τι μετεποιοῦντο,
ἄγχιστά πη ἀλλήλων γινόμενοι ἐν χρῷ τε ξυνιόντες ἀπὸ τῶν καταστρω-
μάτων ξυνέμισγον, ξίφεσί τε καὶ δόρασιν, ὥσπερ ἐν πεδίῳ, μαχόμενοι.
5 καὶ τὰ μὲν προοίμια τοῦ ἀγῶνος τοῦδε τοιαῦτα ἐγεγόνει. ὕστερον δὲ
οἱ βάρβαροι ἀπειρίᾳ τοῦ ναυμαχεῖν ξὺν πολλῇ ἀταξίᾳ τὴν ξυμβολὴν
τήνδε διέφερον· οἱ μὲν γὰρ αὐτῶν οὕτως ἀπ' ἀλλήλων διίσταντο ὥστε
διδόναι τοῖς πολεμίοις αὐτοὺς κατὰ μόνας ἐμβάλλειν, οἱ δὲ συχνοὶ ἐς
ταὐτὸ ξυνιόντες πρὸς ἀλλήλων ἀεὶ τῇ τῶν πλοίων στενοχωρίᾳ ξυνεπο- H 357
10 δίζοντο. εἴκασεν ἄν τις φορμηδὸν αὐτοῖς τὰ τῶν πλοίων ἰκρία ξυγκεῖσθαι.
καὶ οὐδὲ τοξεύειν ἐς τῶν ἐναντίων τοὺς διεστῶτας ἐδύναντο, ὅτι μὴ ὀψέ
τε καὶ μόλις, οὐδὲ ξίφεσιν ἢ δόρασι χρῆσθαι, ἡνίκα ἂν σφίσιν ἐγκειμέ-
νους αὐτοὺς ἴδοιεν, ἀλλὰ κραυγῇ τε καὶ ὠθισμῷ ἐν σφίσιν αὐτοῖς διηνεκῶς B 583

1. μετοπηδὸν *v V*; *om. D* ταῖς *om. W v V*; *in parent. f* 2. αὐτὸν *W v L* τι *om. M C D m f (agg. di sec. m.)* μεταποιοῦντα *D* 3. τε *om. W v V L*; *in parent. f* 3-4. καταστρωμμάτων *W v V* 4. παιδίω *D* 5. μὲν] *i codd.; om. le edd.* 6. ἀπορίᾳ *f (marg.), Reg.* ναυμαχῆ *D* 7. ἔφερον *W v V L* αὐτῷ τούτῳ *M C D m f (corr. in marg.), H* διίσταντο *(-ο in rasura) M* 8. ἐμφ.....λλειν *(sic) D* ἐκβάλλειν *W v V f (marg.), Reg.* 9-10. ξυνεμποδίζοντο *D* 10. φορμησὸν *D* 11. ἐδύναντο *corr. da* ἠδύν. *M* ἠδύναντο *W v V f (marg.) L* 12. καὶ *om. D* ξίφεσι *D* ἢ δόρασι *om. D* 13. ὠθησμῶ *M C m f (corr.)* θρησμῶ *D*

nendo le navi di fronte e prora contro prora, si saettavano, ed i più valorosi fra gli altri, appressatisi corpo a corpo d'in sui ponti, si battevano assieme colle spade e le lance come in campo. E questo fu il preludio di quella pugna. Poscia i barbari, poco periti della battaglia navale, procedettero nella pugna con grande disordine, poichè taluni di loro tanto si allontanarono gli uni dagli altri che il nemico poteva facilmente attaccarli da soli; taluni invece, aggruppandosi in molti assieme in uno stesso punto, mettevan le navi in tali strette da impedirne la manovra; sarebbesi detto che i bordi eran come intrecciati fra loro. E neppur potean tirare contro i nemici lontani se non lentamente ed a stento, nè servirsi della spada e della lancia quando li vedean venir loro addosso. Ma non facean che sospingersi con grandi grida gli uni gli altri, urtandosi continuamente fra di loro e colle

εἴχοντο, ξυγκρούοντές τε ἀεὶ ἐς ἀλλήλους καὶ τοῖς κοντοῖς αὖθις διωθού-
P 633 μενοι οὐδενὶ κόσμῳ, καὶ πὴ μὲν ξυμφύροντες τῇ στενοχωρίᾳ τὸ μέτωπον,
πὴ δὲ ἀποφοιτῶντες πολλῷ ἄποθεν ἐπὶ πονήρῳ τῷ σφετέρῳ ἑκάτεροι.
τάς τε παρακελεύσεις αὐτῶν ἕκαστος ἐς τοὺς ἄγχιστα ὄντας ξὺν ὀλο-
λυγῇ πολλῇ ἐποιοῦντο, οὐκ ἐπὶ τοὺς πολεμίους, ἀλλ' ὅπως τὰς διαστάσεις 5
αὐτοὶ ἀπ' ἀλλήλων ἐργάζωνται. ἠσχολημένοι τε τῇ ἐς ἀλλήλους ἀμη-
χανίᾳ τῆς κατὰ σφῶν νίκης αἰτιώτατοι τοῖς πολεμίοις ἐγίνοντο. οἱ δὲ
Ῥωμαῖοι ἀνδρείως μὲν τὰ ἐς τὴν ξυμβολήν, ἐμπείρως δὲ τὰ ἐς τὴν
ναυμαχίαν διαχειρίζοντες, τά τε πλοῖα μετωπηδὸν στήσαντες, καὶ οὔτε
κατὰ πολὺ διεστῶτες ἀλλήλων οὔτε μὴν ἄγχιστα ξυνιόντες περαιτέρω 10
τῆς χρείας, ἀλλὰ ξυμμέτρους ἀεὶ τάς τε ξυνόδους καὶ διαστάσεις ποιού-
μενοι, ἣν μὲν ναῦν πολεμίαν ἀποσκεδαννυμένην τῶν ἄλλων ἐθεῶντο,
κατέδυον ἐμβάλλοντες οὐδενὶ πόνῳ, εἰ δέ που ξύγχυσιν ἐς τῶν πολε-
μίων τινὰς ἴδοιεν, ἐνταῦθα τά τε τοξεύματα συχνὰ ἔπεμπον καὶ ἡνίκα

1. τοὺς κοντοὺς *WvVL (corr. in marg.)* 2. πῆ *MCDvVmf* συμφέ-
ροντες *Wvf (marg.)* συμφύροντες *V* ξυμφέροντες *L* 3. πῆ *MC (corr. da* ποῖ*)*
vVmf ἀποφυτῶντες *DWvV* πονήρῳ] *i codd., HP* πονηρῷ *B* τῶν σφετέ-
ρων *WvV* ἑκάτερα *MCm, H* ἑκατέρῳ *P* 6. αὐτοῖς *WvVf (marg.) L*
ἐργάζωντε *W* τῆς εἰς *D* 9. μετωπηδῶν *W* μετοπηδὸν *vV* 11. συμ-
μέτρους *WvVL* συνόδους *DL* διϊστάσεις *W* 12. ἀποσκεδανυμένην *D*
θεῶνται *WvV* 13. σύγχυσις εἰς *D* 14. τά *om. f, HP*

stanghe poi respingendosi senza ordine veruno; e quando nella strettezza cozzavansi di fronte, quando sparpagliavansi lungi gli uni dagli altri con grande loro detrimento; e con grida affannose ognuno eccitava i più vicini, non già a dar contro ai nemici, ma bensì a tenersi fra di loro alla dovuta distanza; e così perdendo il tempo negli imbarazzi in cui mettevansi fra loro, furon principal cagione della vittoria dei nemici. I Romani invece combattendo valorosamente e governando con perizia la battaglia navale, tenean ferme le navi di fronte, non troppo distanti le une dalle altre e neppur più vicine del necessario, ma mantenendo sempre la giusta misura nell' approssimarle e nell' allontanarle, quando vedeano una nave nemica separata dalle altre, investitala, la colavano facilmente a fondo; dove poi vedessero confusamente aggruppati i nemici, scagliavan lor contro un nembo

σφίσιν ἐπιπέσοιεν, ἀτάκτοις οὖσι καὶ ξυντριβέσι γεγενημένοις τῷ τῆς
ἀταξίας καμάτῳ ἐκ χειρὸς αὐτοὺς διεχρῶντο. ἀπειρηκότες οὖν οἱ βάρ-
βαροι πρός τε τὰ τῆς τύχης ἐναντιώματα καὶ τὰς κατὰ τὴν μάχην
ἁμαρτάδας ξυμπεπτωκυίας, οὐκ εἶχον καθ' ὅ τι μαχέσονται, οὐδὲ ναυ-
5 μαχοῦντες, οὐ μέντοι οὐδὲ καθάπερ ἐν πεζομαχίᾳ ἐπὶ τῶν καταστρω-
μάτων ἑστῶτες, ἀλλὰ ῥίψαντες τὴν ἀγώνισιν ἐπικινδύνως ἠτρέμιζον, ἐπὶ B 584
τῇ τύχῃ καταλιπόντες. διὸ δὴ ἐς ὑπαγωγὴν οἱ Γότθοι αἰσχρὰν ξὺν
πολλῇ ἀκοσμίᾳ ἐτράποντο, καὶ οὔτε ἀλκῆς οὔτε φυγῆς τινος εὐπρε-
ποῦς οὔτε του ἄλλου ἐς σωτηρίαν αὐτοὺς ἄγοντος ἐμέμνηντο ἔτι, ἀλλὰ
10 μεταξὺ πλοίων τῶν πολεμίων ὡς τὰ πολλὰ σκεδαννύμενοι διηποροῦντο.
καὶ αὐτῶν τινες ναυσὶν ἕνδεκα διέφυγόν τε καὶ διαλαθόντες ἐσώθησαν,
οἱ δὲ λοιποὶ ἅπαντες ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. ὧν δὴ Ῥωμαῖοι
πολλοὺς μὲν αὐτοχειρὶ διέφθειραν, πολλοὺς δὲ αὐταῖς ναυσὶ καταδύοντες

1. τριβέσι *D* συντριβέσι *WvVL* 4. ξυμπεπτωκείας *D* μαχήσοντε *W* μαχήσονται *vVf (marg.), Reg.* 5-6. καταστρωμμάτων *WvV* 7. καταφυγόντες *MCDmf (corr. in marg.), HP* 8-9. οὔτε - οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ - οὐδὲ *i codd., HP* 9. ἄλλου - ἀλλὰ] *W* (ἐμέμνητο) *vV* μεμνημένοι ἄλλου *gli altri codd.* (μεμνημένοι *om. L) e le edd.* 11. τε *om. WvVL; in parent. f* λαβόντες *W* λαθόντες *vV* διαλαβόντες *L, H* 12-13. ὧν δὴ πολλοὺς μὲν αὐτοχειρὶ ῥωμαῖοι *WvVL* 13. αὐτοχειρίᾳ *MCD, H* διέφθειραν] *WvVL, B* διέφθειρον *gli altri codd., HP*

di dardi e fattisi poi loro addosso nel disordine in cui erano e nel trambusto che ne seguiva, li uccidevano corpo a corpo. Scoraggiati adunque i barbari così per l'avversa fortuna come per gli errori commessi nella pugna, non sapean più come combattere, nè come in battaglia navale, nè come in battaglia di terra, tenendosi fermi sui ponti; ma smesso il pugnare se ne stavano quatti nel periglio abbandonandosi alla sorte. Ne avvenne che con gran disordine i Goti si volsero in fuga senza pensare al valore, senza pensare a dignitosa ritirata nè ad altro mezzo di salvezza, ma i più rimasero sparpagliati ed impigliati in mezzo alle navi nemiche. Alcuni di loro riuscirono nascostamente a salvarsi con undici navi. Tutti gli altri vennero in potere dei nemici. Molti di essi i Romani uccisero di propria mano; molti fecer perire colandone a fondo le navi. Dei capitani, In-

ἔκτεινον· τῶν δὲ στρατηγῶν Ἰνδοὺλφ μὲν ξὺν ταῖς ἕνδεκα ναυσὶ διαλαθὼν ἔφυγε, τὸν δὲ δὴ ἕτερον ἐζώγρησαν Ῥωμαῖοι. κἄπειτα οἱ ἐν ταῖς ἕνδεκα ναυσὶν ἐς τὴν γῆν ἀποβάντες τὰ μὲν πλοῖα εὐθὺς ἔκαυσαν, ὡς μὴ ὑπὸ τῶν πολεμίων ταῖς χερσὶ γένωνται, αὐτοὶ δὲ πεζῇ ἐς τὸ στρατόπεδον ἐκομίσθησαν, ὃ τοὺς ἐν Ἀγκῶνι ἐπολιόρκει. φράσαντές 5 τε αὐτοῖς τὰ ξυμπεσόντα εὐθυωρὸν ξὺν αὐτοῖς τὴν ἀναχώρησιν ἐποιήσαντο, τὸ στρατόπεδον τοῖς πολεμίοις ἀπολιπόντες, καὶ δρόμῳ τε καὶ θορύβῳ πολλῷ ἐς Αὔξιμον πόλιν ἐγγύς πῃ οὖσαν ἀνέδραμον. Ῥωμαῖοι δὲ ἀφικόμενοι ἐς τὸν Ἀγκῶνα οὐ πολλῷ ὕστερον τό τε στρατόπεδον τῶν πολεμίων ἀνδρῶν ἔρημον αἱροῦσι καὶ τὰ ἐπιτήδεια τοῖς ἐν τῷ 10 φρουρίῳ ἐσκομίσαντες ἀπέπλευσαν ἐνθένδε. καὶ Βαλεριανὸς μὲν ἐπὶ B 585 Ῥαβέννης ἐχώρησεν, Ἰωάννης δὲ ἐς Σάλωνας ἀνέστρεψεν. αὕτη διαφερόντως ἡ μάχη τό τε φρόνημα καὶ τὴν δύναμιν Τωτίλα τε καὶ Γότθων κατέλυσεν.

1. ἰλδοὺφ *MCDmf, H* γουνδοὺλ *WvVf (marg.) L* 1–2. λαθὼν *WvVf (marg.) L* 2. τοὺς δὲ δὴ ἑτέρους *WvVf (marg.), Reg.* καὶ ἔπειτα *WvVL* οἱ *om. D* 4. πεζοὶ *WvVf (marg.), Reg.* 5. ᾗ *per* ὃ *WvVL* ᾗ τοὺς ἐν ἀ. ἐπολιόρκουν *f (marg.)* ἐπολιόρκουν *WvVL* 6. ἀναχώρησι *D* 6–7. ἐποίησαν *W* ἐποιήσαν *vV* 8. πῆ *D* 9. ἀγῶνα *D* 10. ἔρημον] *WvV* ὡς ἔρημον *gli altri codd. e le edd.* αἴρουσι *CWvV* αἴρουσιν *Dmf (corr. in marg.)* τοὺς *per* τοῖς *WvV* 12. ἐσάλωνας *D* 13. τουττίλα *WvV* τε *om. WvV*

dulfo fuggì di nascosto colle undici navi, l' altro fu preso vivo dai Romani. Quelli poi che eran nelle undici navi, giunti a terra tosto le bruciarono, perchè non andassero in mano dei nemici, ed essi a piedi recaronsi presso l' esercito che stava all' assedio di Ancona. Colà narraron l' avvenuto e prestamente cogli altri sen partirono abbandonando il campo ai nemici, e di gran corsa tumultuariamente recaronsi alla prossima città di Osimo. I Romani giunti poco dopo ad Ancona s' impadronirono del campo dei nemici rimasto deserto, e forniti di vettovaglie quei del castello, salparon di là. Valeriano recossi a Ravenna, Giovanni tornossene a Salona. Questa battaglia prostrò singolarmente l' ardire e le forze di Totila e dei Goti.

κδ'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τῇδε Ῥωμαίοις ἐν Σικελίᾳ τὰ πράγματα εἶχε. Λιβέριος μὲν ἐνθένδε βασιλεῖ ἐς Βυζάντιον μετάπεμπτος ἦλθεν, Ἀρταβάνης δὲ, τοῦτο βασιλεῖ δεδογμένον, παντὸς ἦρχε τοῦ ἐν Σικελίᾳ Ῥωμαίων στρατοῦ. ὃς δὴ Γότθους τοὺς ἐν τοῖς ἐκείνῃ φρουρίοις ἀπολελειμμένους, ὀλίγους κομιδῆ ὄντας, πολιορκῶν, μάχῃ τε αὐτῶν τοὺς ἐπεξιόντας νικήσας ἐς πᾶσάν τε ἀπορίαν τῶν ἀναγκαίων καταστησάμενος ὕστερον ὁμολογίᾳ ξύμπαντας εἷλεν. οἷς οἱ Γότθοι περίφοβοί τε γεγενημένοι καὶ τοῖς κατὰ τὴν ναυμαχίαν ξυμπεπτωκόσι περιαλγοῦντες τὸν πόλεμον ἀπεγίνωσκον, ἤδη δυσέλπιδες τὸ παράπαν γεγενημένοι, λογιζόμενοί τε ὡς ἐν τῷ παρόντι δὴ αἰσχρῶς ἡσσημένοι τῶν πολεμίων καὶ παντάπασι διεφθαρμένοι, ἤν τις Ῥωμαίοις βοήθεια καὶ κατὰ βραχὺ ἐπιγένηται, τρόπῳ οὐδενὶ ἀντέχειν αὐτοῖς οὐδὲ χρόνου ῥοπήν τινα ἱκανοὶ ἔσονται, ἢ ἐπὶ τῆς Ἰταλίας ἐστήξειν. οὐ μὴν οὐδὲ κατὰ πρεσβείαν διαπράξασθαί τι ἐκ βασιλέως ἐν ἐλπίδι εἶχον. πολ-

V 226 — P 634

1–2. ῥωμ. τὰ πράγμ. εἶχεν ἐν σικελία *Wv Vf (marg.) L* 3. δεδομένον *D* 4. τοῦ ἐν Σικελίᾳ *om. L* τοὺς] *MCWv Vm; om. gli altri codd. e le edd.* τῆ *per* τοῖς *D* 5. ἀπολει *D* 6. ἐπαξιόντας *DWv* 7. εἶλε *D* 9. περιαλκοῦντες *Wv V* τοπαράπαν *MCWvmf (corr.)* 10. ἐν *om. L* 11. παντάπασιν *W* ῥωμαίων *MCDmf (corr. in marg.), H* 12. αὐτοῖς] *L (corr. da -οὺς)* αὐτοὺς *gli altri codd. e le edd.* 14. πρεσβεία *D* ἐλπίδον *D*

XXIIII. In quello stesso tempo, ecco a che ne erano le cose dei Romani in Sicilia. Liberio, chiamato dall' imperatore, erasi di là recato a Bizanzio; ed Artabane dietro il volere imperiale teneva il comando di tutto l' esercito romano in Sicilia. Questi, assediati i Goti che rimanevano in quei castelli (ed erano, invero, assai pochi), quanti fecer sortite vinse in battaglia e ridottili quindi ad estrema penuria di vettovaglie, tutti li prese per capitolazione. I Goti, sgomenti per tali fatti e addolorati per l' esito della battaglia navale, erano mal disposti alla guerra, avendo già affatto perduta ogni speranza; e riflettevano che ora vergognosamente battuti come erano, e rovinati dai nemici, se mai anche il più piccolo soccorso venisse ai Romani, essi non avrebbero potuto neppur per un momento tenervi fronte o rimanere in Italia. E neppur con una ambasceria aveano speranza di conchiudere qualche accordo coll' imperatore, poichè già più volte

H 358 λάκις γὰρ ἐς αὐτὸν πρέσβεις ὁ Τωτίλας ἐτύγχανε πέμψας. οἳ, ἐπεὶ ἐς ὄψιν Ἰουστινιανῷ βασιλεῖ ἦλθον, ἀνεδίδαξαν μὲν ὡς τῆς Ἰταλίας τὰ μὲν πλεῖστα κατέλαβον Φράγγοι, ἡ δὲ λοιπὴ ἔρημος ἀνθρώπων τῷ πολέμῳ ἐπὶ πλεῖστον γεγένηται. Σικελίας δὲ καὶ Δαλματίας, αἵπερ B 556 ἀκραιφνεῖς ἔτι διέμειναν μόναι, Ῥωμαίοις ἐξίστανται Γότθοι, δασμούς 5 τε καὶ φόρους ὑπὲρ τῆς ἐρήμου ἀποφέρειν ὁμολογοῦσιν ἀνὰ πᾶν ἔτος καὶ ξυμμαχήσειν ἐφ' οὓς ἂν βασιλεὺς βούλοιτο καὶ τἆλλα κατήκοοι αὐτῷ ἔσεσθαι. ἀλλὰ βασιλεὺς μάθησιν οὐδεμίαν τῶν λεγομένων ποιούμενος τοὺς πρέσβεις ἅπαντας ἀπεπέμπετο, πρὸς τὸ Γότθων ὄνομα χαλεπῶς ἔχων, ἄρδην τε αὐτοὺς τῆς Ῥωμαίων ἀρχῆς ἐξελάσαι δια- 10 νοούμενος. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

Θευδίβερτος δὲ, ὁ Φράγγων ἀρχηγὸς, οὐ πολλῷ ἔμπροσθεν ἐξ ἀνθρώπων ἠφάνιστο νόσῳ, Λιγουρίας τε χωρία ἄττα καὶ Ἄλπεις Κουττίας καὶ Βενετιῶν τὰ πολλὰ οὐδενὶ λόγῳ ἐς ἀπαγωγὴν φόρου ὑποτελῆ ποιη-

1. τουττίλας Wa V τουτίλλας L ἐπεὶ om. Wa V L; in parent. f 2. βασιλεῖ om. D 3. πολλὰ per πλεῖστα Wa V f (marg.), Reg. 5. ἔτι om. Wa ἐξίστανται Wa V L 6. δὲ per τε Wa V ἀποφέρειν] Wa V f (marg.), Reg. ἀποφέρεσθαι gli altri codd. e le edd. 7. συμμ. Wa V L ἂς per οὓς L βασιλεὺς om. f (agg. in marg.) τὰ ἄλλα Wa V 9. τὸν per τὸ Wa 10. αὐτὸ Wa V L ἐξελᾶσαι Wa 12. βασιλεὺς per ἀρχ. f (marg.), Reg. 13. σκουτίας MCDmf (corr. in marg.), H 14. λόγῳ] i codd. πόνῳ le edd.

avea Totila a lui spediti legati, e questi venuti al cospetto di Giustiniano imperatore aveangli rappresentato come l'Italia fosse per la più gran parte in mano dei Franchi ed il resto fosse quasi tutto reso deserto dalla guerra; che la Sicilia e la Dalmazia, sole rimaste tuttora in buono stato, cederebbero i Goti ai Romani; pel rimanente deserto promettevano pagare annuo tributo ed imposta e che sarebbero alleati dell'imperatore contro qualsivoglia a lui piacesse e del resto a lui sottoposti. Ma l'imperatore senza badare alcunamente a quel che dicevano avea rimandato tutti i legati, avendo in odio il nome dei Goti e proponendosi di scacciarli affatto dall'impero romano. Tanto adunque avveniva colà.

Teodiberto, re dei Franchi, era poco prima morto di malattia dopo essersi senza alcuna ragione resi tributari alcuni paesi della Liguria e le Alpi Cozie e gran parte della Venezia. Imperoc-

σάμενος. τὴν γὰρ ἀσχολίαν τῶν μαχομένων οἰκείαν οἱ Φράγγοι εὐκαιρίαν πεποιημένοι τοῖς ἐκείνων περιμαχήτοις αὐτοὶ ἀκινδύνως ἐπλούτουν. καὶ Γότθοις μὲν πολίσματα ὀλίγα ἐν Βενετίαις διέμεινε, τά τε ἐπιθαλασσίδια χωρία Ῥωμαίοις. τὰ δὲ ἄλλα ὑποχείρια σφίσιν ἅπαντα πεποίηντο (P 635)
5 Φράγγοι. Ῥωμαίων τε καὶ Γότθων πόλεμον τόνδε ἧπέρ μοι εἴρηται πρὸς ἀλλήλους διαφερόντων καὶ πολεμίους οὐ δυναμένων ἐπικτᾶσθαι καινούς, Γότθοι τε καὶ Φράγγοι ἐς λόγους ἀλλήλοις ξυνίασι, καὶ ξυνέκειτο, μέχρι μὲν ἂν Γότθοι πρὸς Ῥωμαίους τὸν πόλεμον διαφέροιεν, ἔχοντας ἑκατέρους ὧνπερ ἐγένοντο ἐγκρατεῖς ἡσυχῇ μένειν, μηδέν τε
10 σφίσι πρὸς ἀλλήλους πολέμιον εἶναι. ἢν δέ γε βασιλέως ποτὲ Ἰουστινιανοῦ περιέσεσθαι Τωτίλαν τῷ πολέμῳ ξυμβαίῃ, τηνικάδε Γότθους τε (B 587) καὶ Φράγγους διοικήσασθαι ταῦτα, ὅπη ἂν ξυνοίσειν ἑκατέροις δοκῇ. ἀλλὰ ταῦτα μὲν τῇδε ξυνέκειτο. τὴν δὲ Θευδιβέρτου ἀρχὴν διεδέξατο

1. οἰκίαν *D* εὐπορίαν *f (marg.) L* 2. ἐκείνω *W* ἐκείνῃ *L (corr.)* περιμαχίτοις *MCDmf (corr.)* 3. γόττοι *D* γόττους *L* βενετίοις *WvVL* τά τε] *WvVL* τά τε γὰρ *MCDmf, HP* τὰ μὲν γὰρ *B* 4. Ῥωμαίοις] *WvV* ῥωμαῖοι *gli altri codd. e le edd.* πεποίηντο] *B* πεποίηνται *i codd., HP* 5. τῶν γόττ. *WvVL* 9. ἔχοντας] *i codd.; om. le edd.* ὧνπερ ἐγένοντο] *W* (ἐγένετο) *v Vf (marg.), Reg.* ὧν περιεγένοντο *gli altri codd. e le edd.* ἡσυχὴ *W* 10-11. *Le parole* πολέμιον - Ἰουστινιανοῦ *om. f (agg. in marg.)* 11. τουττίλαν *WvV* τουτίλλαν *L* συμβαίη *WvVL* 12. συνοίσειν *WvV* ξυνήσειν *(sic) L* δοκεῖ *W (corr.) vVL* 13. θευδεβέρτου *WvVL*

chè i Franchi, traendo partito dalla occupazione in cui trovavansi impegnati i belligeranti, eransi senza periglio alcuno arricchiti di ciò per cui coloro guerreggiavano. Nella Venezia sol poche cittaduzze rimanevano ai Goti, e i luoghi marittimi ai Romani; tutto il resto se lo erano assoggettato i Franchi. Mentre i Romani ed i Goti combattevano fra di loro questa guerra, siccome io narrai, e non potevano attirarsi quindi nuovi nemici, i Goti ed i Franchi vennero a trattative, e fu convenuto che finchè i Goti fossero in guerra coi Romani, gli uni e gli altri rimanessero tranquillamente in possesso di quanto aveano acquistato, nè si venisse ad inimicizia fra di loro. Se poi Totila vincesse in guerra Giustiniano imperatore, allora i Goti ed i Franchi porrebbero le cose in quell' assetto che meglio agli uni ed agli altri paresse convenire. Tale era il convenuto. A Teodiberto successe nel

Θευδίβαλδος ὁ παῖς. βασιλεύς τε Ἰουστινιανὸς Λεόντιον, τὸν Ἀθανασίου γαμβρὸν, ἄνδρα ἐκ βουλῆς, πρεσβευτὴν παρ' αὐτὸν ἔπεμψεν ἔς τε ὁμαιχμίαν παρακαλῶν ἐπὶ Τωτίλαν τε καὶ Γότθους καὶ χωρίων ἐκστῆναι τῶν ἐπὶ τῆς Ἰταλίας αἰτούμενος, ὧνπερ Θευδίβερτος ἐπιβατεῦσαι διὰ σπουδῆς ἔσχε. 5

Λεόντιος δὲ, ἐπειδὴ παρὰ Θευδίβαλδον ἀφίκετο, ἔλεξεν ὧδε « Ἴσως « μέν τι καὶ ἄλλοις παρὰ τὰς ἐλπίδας τισὶ τετυχηκέναι ξυνέπεσεν, ὁποῖον V 227 « δὲ Ῥωμαίοις τανῦν πρὸς ὑμῶν γεγονέναι ξυνέβη, οὐδενὶ οἶμαι ξυνε-« νεχθῆναί ποτε τῶν πάντων ἀνθρώπων. βασιλεὺς μὲν γὰρ Ἰουστι-« νιανὸς οὐ πρότερον κατέστη ἐς πόλεμον τόνδε. οὐδὲ Γότθους πολε- 10 « μησείων ἔνδηλος γέγονεν, ἕως αὐτῷ Φράγγοι φιλίας τε καὶ ξυμμαχίας « ὀνόματι χρήματα μεγάλα κεκομισμένοι τὴν ἀγωνίαν ξυλλήψεσθαι « ὡμολόγησαν. οἱ δὲ οὐχ ὅπως τι δρᾶν τῶν ὡμολογημένων ἠξίωσαν,

1. Θευδίβαρτος *L* 2. εἷς *P* 2-3. ὥστε *per* ἔς τε *Dmf (corr.)* 3. τουττίλαν *WvV* τουτίλλαν *L* 4-5. ἐπιβατεῦσαι] *WvVL, B, e Suida s. v.* ἐπιβῆναι ἐπιστρατεύσας *MCDmf, H* οὐ δέον ἐπιβατεύσας *P* 5. διὰ σπουδῆς] *WvVL, B, Suida* ἐν σπονδαῖς *MCDmf (corr. in marg.), HP* 7. μέ *W (corr.)* τοι *per* τι *MCDVmf* ἄλλο *MCmf (corr. in marg.), H* ἄλλω *D* ξυνέπαισεν *D* 8-9. ξυνηνέχθη πώποτε τῶν πάντ. *WvV* ξυνηνέχθη πώποτε πάντ. *f (marg.), Reg.* 11. αὐτὸ *L* τε καὶ ξυμμ. *om. L* 12. κεκοσμισμένοι *W* 13. ὁμολογουμένων *W* ὁμολογημένων *v*

regno il figlio Teodibaldo, e l' imperatore Giustiniano mandò a lui, come legato, Leonzio, senatore e genero di Atanasio, invitandolo ad allearsi con lui contro Totila ed i Goti, e pregandolo ad uscire da quei paesi d' Italia che Teodiberto senza diritto avea voluto occupare.

Giunto Leonzio presso Teodibaldo, gli parlò così: « Anche « ad altri certamente può darsi sia avvenuta tal cosa che men si « aspettavano; quanto però per parte vostra ora successe ai Ro-« mani non credo sia mai avvenuto ad alcuno. Poichè l' impera-« tore Giustiniano non si mise in questa guerra, nè manifestò l' in-« tenzione di combattere i Goti senza prima aver avuto dai Franchi, « con donativo di molto danaro, la promessa che come amici ed « alleati si associerebbero con lui all' impresa. Essi invece non « solo delle promesse non mantenner nulla, ma commisero tali

« ἀλλὰ καὶ προσηδικήκασι Ῥωμαίους τοιαῦτα οἷα οὐδ' ἄν τις ὑποπτεῦσαι
« ῥᾴδιον ἔσχεν. ὁ γὰρ πατὴρ ὁ σὸς Θευδίβερτος χώρας ἐπιβατεῦσαι
« ὑπέστη, οὐδὲν αὐτῷ προσῆκον, ἥσπερ βασιλεὺς πόνῳ τε πολλῷ καὶ
« κινδύνοις πολέμου, καὶ ταῦτα Φράγγων ἐκποδὼν ἱσταμένων, κύριος B 588
5 « γέγονε. διόπερ τανῦν ἐς ὑμᾶς ἥκω, οὐχ ὅπως μέμψομαι ἢ αἰτιάσομαι,
« ἀλλ' αἰτησόμενός τε καὶ παραινέσων ὅσα ξυνοίσειν ὑμῖν αὐτοῖς μέλλει.
« λέγω δὲ, ὅπως βεβαιότατα μὲν διασώζητε τὴν ὑπάρχουσαν ὑμῖν
« εὐπραξίαν, ξυγχωρήσητε δὲ Ῥωμαίοις ἔχειν τὰ αὐτῶν ἴδια. τοὺς γὰρ
« δύναμιν περιβεβλημένους μεγάλην καὶ βραχέων τινῶν οὐχ ὁσία κτῆσις
10 « ἀφαιρεῖσθαι πολλάκις τὰ παρόντα αὐτοῖς ἐκ παλαιοῦ ἀγαθὰ ἴσχυσεν,
« ἐπεὶ τὸ εὔδαιμον τῷ ἀδίκῳ ἐς ταὐτὸ ξυνιέναι οὐδαμῇ εἴωθε. καὶ
« μὴν καὶ ὅπως ἡμῖν τὸν πρὸς Τωτίλαν ξυνδιενέγκητε πόλεμον, τὴν
« τοῦ πατρὸς ὑποτελοῦντες ὁμολογίαν. τοῦτο γὰρ ἂν πρέπον γνησίοις

1. προσηκήκασι *D* δ' *per* οὐδ' *D* 3. τε *om. WvVL; in parent. f*
5. γέγονεν *D* ὑμᾶς] *CWvV* ἡμᾶς *gli altri codd. e le edd.* μέμψωμαι *L*
αἰτιάσωμαι *WvVL* 6. συνοίσειν *D* 7. βεβαιοτάτην *WL* διασώζητο *D*
8. συγχωρ. *WvVL* ῥωμαίους *WvV* 10. ἀφαιρῆσθαι *W* ἐκ παλαιοῦ ἀγαθὰ]
WvVL (ἀγαθοῦ); *om. gli altri codd. e le edd.* 11. εὔδομον *W* ταὐτὸν
WvVL εἴωθεν *W* 12. τουττίλαν *WvV* τουτίλλαν *L* 13. ὁμολογίαν
ὑποτελ. *f (marg.) L*

« torti verso i Romani quali niun potrebbe neppure immaginare.
« Poichè il padre tuo Teodiberto non esitò ad appropriarsi contro
« ogni diritto un paese del quale l' imperatore con grandi tra-
« vagli e perigli di guerra, ne' quali i Franchi si teneano in di-
« sparte, erasi reso padrone. Pertanto ora io vengo a voi, non
« a muovervi rimproveri o accuse, ma per chiedervi e consigliarvi
« quanto a voi stessi dovrà giovare; voglio dire, perchè voi sicu-
« ramente serbiate la presente vostra prosperità e lasciate che i
« Romani si abbiano quel che è loro. Poichè a coloro che
« posseggono grande potenza l' ingiusto possedimento, anche di
« piccola cosa, bastò spesso a privarli di beni da gran tempo go-
« duti. Chè invero prosperità ed iniquità mai non sogliono
« andare uniti. Inoltre chiedo che voi, compiendo la promessa
« del padre tuo, vi uniate a noi nella guerra contro Totila, poichè
« questo ben si addice sopratutto a figli genuini correggere gli

« παισὶ πάντων μάλιστα, ἐπανορθοῦν μὲν, εἴ τι τοῖς γειναμένοις ἡμαρ-
« τῆσθαι ξυμβαίνει, περιστέλλειν δὲ καὶ κρατύνεσθαι ὅσα δὴ αὐτοῖς
« ἄριστα εἴργασται. ἐπεὶ καὶ τῶν ἀνθρώπων ταῦτα διαφερόντως εὐκτὰ
« τοῖς ξυνετωτάτοις ἂν εἴη, ὅπως δὴ αὐτῶν τὰ μὲν τῶν ἐπιτηδευμάτων
« ἄριστα οἱ παῖδες ζηλοῖεν, εἰ δέ τι αὐτοῖς οὐκ ὀρθῶς πέπρακται, μὴ 5
P 636 « ὑπ' ἄλλου του τὸ τοιοῦτον ἢ ὑπὸ τῶν παίδων ἄμεινον ἔσεσθαι. καίτοι
H 359 « ἐχρῆν ὑμᾶς ἀκλήτους Ῥωμαίοις πόλεμον τόνδε ξυνάρασθαι. πρὸς
« Γότθους γὰρ ἡμῖν ὁ ἀγών ἐστιν, οἳ τὸ ἐξ ἀρχῆς ἐχθροί τε καὶ ὅλως
« ἄπιστοι γεγόνασι Φράγγοις, ἄσπονδά τε αὐτοῖς καὶ ἀκήρυκτα πολε-
B 589 « μοῦντες τὸν ἅπαντα αἰῶνα. οἳ δὴ νῦν μὲν δέει τῷ ἐξ ἡμῶν οὐκ 10
« ἀπαξιοῦσι κολακικοὶ ἐς ὑμᾶς εἶναι· εἰ δέ ποτε ἡμῶν ἀπαλλαγεῖεν,
« οὐκ ἐς μακρὰν τὴν ἐς Φράγγους ἐνδείξονται γνώμην. πονηροὶ γὰρ
« ἄνθρωποι τὸν αὐτῶν τρόπον ἀμείβειν μὲν οὐκ εὐτυχοῦντες, οὐ πράσ-
« σοντες κακῶς δύνανται, ἀποκρύπτειν δὲ αὐτὸν ἐκ τοῦ ἐπὶ πλεῖστον

1. τῶν πάντων *WL* γεναμένοις *corr. da* γιναμένοις *W* γινομένοις *vVL* 1-2. ἡμαρτεῖσθαι *MCDmf (corr.)* 3. τῶν *om. WL* 4. συνετ. *WvVL* 4-5. *Le parole* τὰ μὲν - ζηλοῖεν *om. W (segno di lacuna)* 5. μὲν *per* μὴ *W* 6. του *om. WL* 7. ἀλήκτους *W* ξυνάρεσθαι *D* 8. ὃ *per* οἳ *D* 10. πάντα *WvVf (marg.) L* 11. κολακοὶ *D* ὑμῶν *D* 12. δείξονται *L* 13. αὐτὸν *D* καὶ *per* οὐ *WvVf (marg.) L*

« errori che possono aver commesso i genitori, confermare in-
« vece e sancire quanto da essi fu fatto di buono. Ed invero
« quanti uomini abbiano senno, questo sopratutto debbon desi-
« derare, che i figli siano imitatori degli atti loro più belli, e se
« alcunchè di men retto essi operarono, non da altri che dai figli
« loro questo venga emendato. Che anzi voi avreste dovuto unirvi
« coi Romani in questa guerra anche senza esservi invitati; poichè
« trattasi di una guerra contro i Goti che già da tempo furon
« nemici e mancatori di fede verso i Franchi, facendo lor guerra
« costante senza tregua nè ragione. Oggi, invero, pel timore
« che hanno di noi, non isdegnano accarezzarvi, ma se un giorno
« di noi si sbarazzino, non tarderanno a mostrar l'animo loro
« verso i Franchi; chè gli uomini perversi non cambian di natura
« nè nella prospera nè nell'avversa fortuna, benchè nelle avversità
« sogliano dissimularla, particolarmente se abbian bisogno degli

« ἐν κακοπαθείαις εἰώθασιν, ἄλλως τε ἢν καὶ τῶν πέλας τινὸς δέωνται,
« τῆς χρείας αὐτοὺς ξυγκαλύπτειν ἀναγκαζούσης τὴν μοχθηρίαν. ὧν
« ἐνθυμηθέντες ἀνανεοῦτε μὲν τὴν ἐς βασιλέα φιλίαν, ἀμύνεσθε δὲ τοὺς
« ἄνωθεν ὑμῖν δυσμενεῖς δυνάμει τῇ πάσῃ ».

5 Λεόντιος μὲν τοσαῦτα εἶπε. Θευδίβαλδος δὲ ἀμείβεται ὧδε « Ξυμ-
« μάχους μὲν ἐπὶ Γότθους ἡμᾶς οὐκ ὀρθῶς οὐδὲ τὰ δίκαια ποιοῦντες
« καλεῖτε. φίλοι γὰρ ἡμῖν τανῦν Γότθοι τυγχάνουσιν ὄντες. εἰ δὲ
« ἀβέβαιοι Φράγγοι ἐς αὐτοὺς εἶεν, οὐδὲ ὑμῖν ποτε πιστοὶ ἔσονται.
« γνώμη γὰρ ἅπαξ μοχθηρὰ ἐς τοὺς φίλους ὀφθεῖσα ἐκτρέπεσθαι τῆς
10 « δικαίας ὁδοῦ ἐς ἀεὶ πέφυκεν. ὧν μέντοι ἐπεμνήσθητε χωρίων ἕνεκα,
« τοσαῦτα ἐροῦμεν, ὡς ὁ πατὴρ ὁ ἐμὸς Θευδίβερτος οὔτε βιάσασθαι πώ-
« ποτε τῶν ὁμόρων τινὰ ἐν σπουδῇ ἔσχεν οὔτε κτήμασιν ἀλλοτρίοις
« ἐπιπηδᾶν. τεκμήριον δέ· οὐ γάρ εἰμι πλούσιος. οὐ τοίνυν οὐδὲ τὰ
« χωρία ταῦτα Ῥωμαίοις ἀφελόμενος, ἀλλὰ Τωτίλα ἔχοντος ἤδη αὐτὰ

1. εἰώθασι *DW (corr.)* ἦν *v* 2. συγκαλ. *WvVL* ἀναγκαζούσας *D* 3. ἀνανεοῦται *W (corr.) vV (id.)* ἀμύνεσθαι *DW* 5. εἶπεν *WvV* τῷδε *Suida s. v.* Θευδίβαλδος *ma* ὧδε *s. v.* ἀμείβεσθαι 5-6. συμμάχους *WvVL* 6. γότθοις *D* 7. δὲ] *WvVf (marg.) van Herwerden* (δ'); *om. gli altri codd. e le edd.* 8. ἡμῖν *D* 10. ἐς *om. WvV* ἐπεμνήμησθε *D* 11. ὁ ἐμὸς] *WvV f (marg.), Reg.* οὑμὸς *gli altri codd. e le edd.* 11-12. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 11. βιάζεσθαί *WvV* 11-12. πώποτε *CDmf (corr.)* ποτε *WvV* 12. ἀλυτρίοις *W* 14. ἀφεκώμενος *(sic) W* τουττίλα *WvV* τουτίλλα *L*

« altri, costretti allora dalla necessità a coprire l'animo malvagio.
« A ciò riflettendo vogliate rinnovar l'amicizia coll'imperatore
« e volger ogni vostro potere contro gli antichi vostri nemici ».

Tanto disse Leonzio. A lui Teodibaldo rispose così: « Non
« è nè giusto, nè di buon diritto, che voi c'invitiate ad alleanza
« contro i Goti, i quali oggi sono nostri amici; che se i Franchi
« ad essi mancasser di fede, neppur verso di voi potrebbero averne.
« Poichè chi una volta si mostra malvagio verso gli amici, sempre
« procederà lontano dalla diritta via. Quanto ai paesi da voi ricor-
« dati, questo vi diremo, che il padre mio Teodiberto non pensò
« mai a far violenza ai vicini, nè ad impadronirsi degli averi altrui,
« e la prova, eccola: io non son ricco. Quei paesi adunque egli
« occupò non già carpendoli ai Romani, ma avutili per dichiarata
« cessione da Totila, che già ne era in possesso; e di questo l'im-

« καὶ διαρρήδην ἐνδιδόντος καταλαβὼν ἔσχεν, ἐφ' ᾧ ἐχρῆν μάλιστα βα-
« σιλέα Ἰουστινιανὸν ξυνήδεσθαι Φράγγοις. ὁ γὰρ τούς τι ἀφελομένους
B 590 « τῶν αὐτοῦ κτημάτων ἰδίων, ὑφ' ἑτέρων τινῶν βιασθέντας ὁρῶν, εἰκότως
« ἂν χαίροι, τὴν δίκην ἐκτετικέναι ὀρθῶς καὶ δικαίως τοὺς αὐτὸν ἠδικη-
« κότας οἰόμενος, ἢν μὴ ἐς τοὺς βιασαμένους φθονερὸς γένηται, ἐπεὶ 5
« τῷ προσποιεῖσθαι τὰ τῶν ἐχθρῶν δικαιώματα, ἐς φθόνον ὡς τὰ πολλὰ
« περιίστασθαι εἰώθασιν ἄνθρωποι. δικασταῖς μέντοι ἐπιτρέπειν οἷοί
« τε ἐσμὲν τὴν περὶ τούτων διάγνωσιν. ὥστε εἴ τι Ῥωμαίους ἀφελέσθαι
« τὸν πατέρα τὸν ἐμὸν φανερὸν γένηται, τοῦτο ἡμᾶς ἀποτιννύναι μελ-
« λήσει οὐδεμιᾷ ἐπάναγκες εἴη. ὑπέρ τε τούτων πρέσβεις ἐς Βυζάν- 10
« τιον σταλήσονται παρ' ἡμῶν οὐ πολλῷ ὕστερον ». τοσαῦτα εἰπὼν τόν
τε Λεόντιον ἀπεπέμψατο καὶ πρεσβευτὴν Λεύδαρδον, ἄνδρα Φράγγον,
τέταρτον αὐτὸν παρὰ βασιλέα Ἰουστινιανὸν ἔστειλε. καὶ οἱ μὲν ἐς Βυ-
ζάντιον ἀφικόμενοι ἔπρασσον οὗ ἕνεκα ἦλθον.

1. καὶ *om. MCDmf (agg. in marg.)* διαρίδην ἐνδιδόντως *D* χρῆν *WvV f (marg.), Reg.* 2. συνήδ. *WvVL* ἀφελωμ. *D* 4. χαίρειν *D* αὐτῶν *WvV* 5. φθονερὸς] *WvVL* αὐτὸς φθον. *gli altri codd. e le edd.* ἐπεὶ] *WvVf (marg.), Reg.* ἐπὶ *gli altri codd. e le edd.* 6 τὸ *WvVf (marg.), Reg.* πρὸς ποιῆσθαι *W* ἐς] *WvV* οἷς ἐς *gli altri codd. e le edd.* φθόρον *D* 7. οἴονται *per* εἰώθασιν *WvV* γὰρ *per* μέντοι *MCDmf (corr. in marg.), H* 8. τούτων] *WvV f (marg.), Reg.* τούτου *gli altri codd. e le edd* 9. ὑμᾶς *MCmf, H* 9–10. με-λήσει *MCDmf (corr.)* 10. ἐπάναγκαις *W* 13. παρὰ *om. D* βασιλεῖ ἰουστινιανῷ *D* 14. ἔπρασον *W* οὗ *om. WvV*

« peratore Giustiniano avrebbe dovuto congratularsi coi Franchi;
« poichè colui che vede i propri spogliatori spogliati da altri ben
« deve goderne, pensando che chi lo offese fu così meritamente
« punito, a meno che egli non porti invidia agli esecutori di tal
« violenza; poichè l'assumersi i diritti dei nemici suol essere so-
« vente cagion d' invidia fra gli uomini. Del resto ben possiamo
« rimettere a giudici il sentenziare intorno a tali cose; che se risulti
« che mio padre abbia tolto qualcosa ai Romani, senza indugio
« debba quella di necessità esser da noi restituita. Ma per questo
« saran da noi fra non molto spediti legati a Bizanzio ». Detto ciò,
rimandò Leonzio, e spedì il franco Leudardo con altri tre in am-
basceria presso Giustiniano imperatore. Coloro, giunti a Bizanzio,
compierono il mandato per cui eran venuti.

Τωτίλας δὲ νήσους τὰς Λιβύῃ προσηκούσας καταλαβεῖν διὰ σπουδῆς εἶχε. στόλον οὖν αὐτίκα νηῶν ἀγείρας καὶ στράτευμα τούτοις ἐνθέμενος ἀξιόχρεων ἔς τε Κουρσικὴν καὶ Σαρδὼ στέλλει. οἱ δὲ τὰ μὲν πρῶτα ἐς Κουρσικὴν ἀποπλεύσαντες, οὐδενὸς αὐτοῖς ἀμυνομένου, τὴν 5 νῆσον ἔσχον, μετὰ δὲ καὶ Σαρδὼ κατέλαβον. ἄμφω δὲ τὼ νήσω ὁ Τωτίλας ὑποτελεῖς ἐς ἀπαγωγὴν φόρου πεποίηται. ὅπερ Ἰωάννης μαθών, ὃς τοῦ ἐν Λιβύῃ Ῥωμαίων στρατοῦ ἦρχε, στόλον τε νηῶν καὶ στρατιωτῶν πλῆθος ἐς Σαρδὼ ἔπεμψεν. οἵπερ ἐπειδὴ Καρνάλεως πόλεως ἄγχιστα ἵκοντο, ἐνστρατοπεδευσάμενοι ἐς πολιορκίαν καθίστασθαι διενοοῦντο. 10 τειχομαχεῖν γὰρ οὐκ ᾤοντο οἷοί τε εἶναι, ἐπεὶ Γότθοι ἐνταῦθα φυλακτήριον διαρκὲς εἶχον. ἐπειδὴ δὲ ταῦτα οἱ βάρβαροι ἔγνωσαν, ἐπεξελθόντες ἐκ τῆς πόλεως καὶ τοῖς πολεμίοις ἐξαπιναίως ἐπιπεσόντες τρεψάμενοί τε αὐτοὺς οὐδενὶ πόνῳ πολλοὺς ἔκτειναν. οἱ δὲ λοιποὶ φεύγοντες, ἐν μὲν τῷ παραυτίκα ἐς τὰς ναῦς διεσώθησαν, ὀλίγῳ δὲ ὕστερον ἐνθένδε

V 228 P 637 B 591

1. τουττίλας *WvV* τουτίλλας *L* λυβύι *D* 1–3. *Le parole* Λιβύῃ – στέλλει *om. W (segno di lacuna); in parent. f* 2. τούτῳ *V* 3. κουσικὴν *V* 4. ἀμυνομένοις *D* 5. τε *per il secondo* δὲ *WvV* τὰς νήσους *MCmf (corr. in marg.) L* τὰς νήσσους *D* 6. τουττίλας *WvV* ἐν *H*; *om. D* ἀπαγὴν (λα *sopra*) *W* 8. ἐν *MCDWvmf* *Dopo* Σαρδὼ *son ripetute in D le parole da* κατέλαβον. ἄμφω *(r. 5) in poi.* χαρανάλεως *W* καράλεως *f (marg.), Reg.* 9. ἥκοντο *WvV* 10. ὄοντο *D* οἷόν *Wvf (marg.), Reg.*

Totila proponendosi di occupare le isole attinenti all'Africa, radunata una flotta e postovi sopra un esercito conveniente, la spedì verso la Corsica e la Sardegna. Coloro dapprima approdarono in Corsica, e niuno facendo resistenza, s'impadronirono dell'isola. Poscia occuparono anche la Sardegna. Ambedue le isole Totila fecesi tributarie. Saputo ciò, Giovanni che comandava le truppe romane d'Africa spedì una flotta con molti soldati in Sardegna. Questi, giunti presso la città di Cagliari, accampatisi proponevansi di porvi assedio; poichè non si credevano in grado di darvi assalto essendo colà un considerevol presidio di Goti. Appena sepper la cosa i barbari, sortiti dalla città improvvisamente piombarono addosso ai nemici e, messili facilmente in fuga, molti ne uccisero. I rimanenti fuggiti via ripararono pel momento sulle navi, e poco dopo salpati di là recaronsi a

ἀπάραντες ἐς Καρχηδόνα παντὶ τῷ στόλῳ ἀφίκοντο. ἐνταῦθά τε δια-
χειμάσαντες ἔμενον, ἐφ' ᾧ δὴ ἅμα ἦρι ἀρχομένῳ παρασκευῇ πλείονι
ἐπί τε Κουρσικὴν καὶ Σαρδὼ αὖθις στρατεύσωσι. ταύτην δὲ τὴν Σαρδὼ
τανῦν Σαρδινίαν καλοῦσιν. ἐνταῦθα φύεσθαι ξυμβαίνει πόαν ἧς δὴ
ἀπογευομένοις ἀνθρώποις αὐτίκα σπασμὸς θανάσιμος ἐπιγίνεται, ἀφ' οὗ 5
δὴ τελευτῶσιν οὐ πολλῷ ὕστερον, γέλωτα γελᾶν ἀπὸ τοῦ σπασμοῦ
δοκοῦντές τινα, ὅνπερ ὁμωνύμως τῇ χώρᾳ Σαρδώνιον καλοῦσι. τὴν δὲ
Κουρσικὴν οἱ πάλαι ἄνθρωποι Κύρνον ἐκάλουν. ἐνταῦθα, ὥσπερ ἄν-
θρωποι νάννοι γίνονται, οὕτω δή τινων ἵππων ἀγέλαι εἰσὶ τῶν προβάτων
ὀλίγῳ μειζόνων. ταῦτα μὲν οὖν τοιαῦτά ἐστι. 10

κε'. Σκλαβηνῶν δὲ πολὺς ὅμιλος Ἰλλυριοῖς ἐπισκήψαντες πάθη
B 592 ἐνταῦθα οὐκ εὐδιήγητα διειργάσαντο. βασιλεὺς δὲ Ἰουστινιανὸς στρά-

1. καρκηδόνα *W (corr.)* 2. ἔμμενον *D* ἅμα *om. WvV; in parent. f*
3. στρατεύσωσιν *MCDmf* 4. σαρδηνίαν *M (corr. da* σαρδηρίαν*) C, P* σαρ-
δήνιαν *Dmf, H* σαρδανίαν *WvV, Reg.* καλοῦσι *WvV* 5. οἷ *per* ἀφ' οὗ
WvVf (marg.) L 7. σαρδώνιαν *MCDmf (corr. in marg.), H (id.)* 8. *Vir-
gola dopo* ἐνταῦθα *van Herwerden; om. i codd. e le edd.* 9. « γρ. πιτζά-
δαι » *per* νάννοι *M (in marg. di m. rec.)* πιτζάδαι *D* πίθηκες *f (in marg.,
e di m. più antica* γρ. πιτζάδαι*) WvVL (corr.* πίθηκοι*), H (in marg.* γρ. πιτζάδαι*)*
προβατίων *WvVf (marg.), Reg.* 10. μείζονες *MCmf (corr. in marg.), HP*
μείζωνες *D* ταῦτα μὲν] *DWvVL* ταῦτ' *gli altri codd. e le edd.* 11. ὁ πολὺς *D*
ἰλλυροῖς *W* 12. διεργάσατο *C* εἰργάσαντο *WvL* δὲ *om. MCmf (agg. in marg.)*

Cartagine con tutta la flotta. Ivi rimasero a svernare, propo-
nendosi di tornare al principio di primavera con maggiore appa-
rato contro la Corsica e la Sardegna. Sardò è il proprio nome
di questa che chiamasi ora Sardegna. Ivi nasce un' erba che
agli uomini che la gustano produce subito letal convulsione, di
cui muoion poco dopo. E la convulsione produce in essi l' ap-
parenza di certo riso che dal nome del paese vien chiamato sar-
donico. La Corsica era chiamata dagli antichi Cyrno. Come
fra gli uomini trovansi de' nani, così colà vi sono della mandrie
di cavalli poco più grandi delle pecore. E tanto sia di ciò.

XXV. Una grande moltitudine di Slavi, irrompendo nell' Il-
lirico vi commise orrori inenarrabili, e l' imperatore Giustiniano

τευμα ἐπ᾽ αὐτοὺς ἔπεμψεν, οὗ δὴ ἄλλοι τε καὶ οἱ Γερμανοῦ παῖδες ἡγοῦντο. οἵπερ τῷ πλήθει τῶν πολεμίων παρὰ πολὺ ἐλασσούμενοι χωρῆσαι μὲν αὐτοῖς ὁμόσε οὐδαμῇ ἴσχυσαν, ὄπισθεν δὲ ἀεὶ μένοντες τῶν βαρβάρων τοὺς ἀπολειπομένους ἐσίνοντο. καὶ πολλοὺς μὲν αὐτῶν
5 ἔκτεινον, τινὰς δὲ καὶ ζωγρήσαντες βασιλεῖ ἔπεμψαν. οὐδὲν μέντοι ἧσσον οἱ βάρβαροι οὗτοι τὰ δεινὰ ἔδρασαν. ἐν ταύτῃ τε τῇ λεηλασίᾳ χρόνου τι μέγα κατατρίψαντες μῆκος τὰς μὲν ὁδοὺς νεκρῶν ἔπλησαν ἁπάσας, ἐξανδραποδίσαντες δὲ ἀνάριθμα πλήθη καὶ ληισάμενοι ξύμπαντα, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, ἐπ᾽ οἴκου ἀπεκομίσθησαν ξὺν
10 πάσῃ τῇ λείᾳ. οὐδὲ γὰρ διαπορθμευομένους ποταμὸν Ἴστρον ἴσχυσαν σφᾶς ἐνεδρεῦσαι Ῥωμαῖοι ἢ ἄλλῳ τῳ βιάσασθαι τρόπῳ, ἐπεὶ Γήπαιδες αὐτοὺς μισθαρνήσαντες ὑπεδέξαντο καὶ διεπόρθμευσαν οὐ μικρόμισθοι γεγενημένοι. ἐπὶ κεφαλῇ γὰρ ἑκάστῃ κατὰ στατῆρα χρυσοῦν ἡ μίσθωσις ἦν. διόπερ βασιλεὺς ἐδυσφορεῖτο, οὐκ ἔχων τὸ λοιπὸν ὅπη ποτὲ αὐτοὺς

H 360

P 638

1. οἷς *per* οὗ *MCDmf (corr. in marg.), H* 3. ἀντίον *per* ὁμόσε *MCDmf (corr. in marg.), HP* 5. μέντι *W* 7. ἀνέπλησαν *WvVf (marg.), Reg.* 8-9. *Le parole* πλήθη - ξύμπ. *ripete D* 9. σφίσι *D* σὺν *WvVL* 12. μισθαρν. *corr. da* μησθαρν. *W* διεπόρθευσαν *W (corr.) v* οὐ] *PB; om. i codd., H* 12-13. μικρομισθίους γεγενημένους *MCDmf, H* μακρόμισθοι γεγενημένους *W (-ους corr. da -οι) vVf (marg.), Reg.* 14. ἔχω *Wv* τολοιπὸν *MCWvmf*

spedì contro di essi un esercito con a capi, oltre ad altri, i figli di Germano. Questi, di molto inferiori in numero ai nemici, non poterono attaccarli di fronte, ma tenendosi sempre ad essi da tergo metteano a male tutti i barbari che rimaneano indietro, molti dei quali uccisero e taluni presi anche vivi mandarono all' imperatore. Non per questo però quei barbari faceano minor male; e passato ben molto tempo in questo saccheggio, tutte le strade empieron di morti, e menando schiavi in quantità innumerevole, e fatto bottino d' ogni cosa senza che alcun loro si opponesse, tornaronsene in patria con tutta la preda. Poichè i Romani non poterono nè sorprenderli al passaggio del Danubio, nè comunque altro fare contro di loro, dacchè i Gepidi, ricevutane mercede, li accolsero e li tragittarono. Nè piccola fu la mercede, poichè si elevò ad uno statero d' oro a testa. Quindi era in grave pensiero l' imperatore non avendo modo ormai di trat-

ἀναστέλλῃ διαβαίνοντας ποταμὸν Ἴστρον, ἐφ' ᾧ ληίσονται τὴν Ῥωμαίων ἀρχὴν καὶ αἰφνιδίαν τὴν ἀποπορείαν ποιουμένους ἐνθένδε, ἤθελέ τε τούτων δὴ ἕνεκα Γηπαίδων τῷ ἔθνει εἰς συνθήκας καταστῆναί τινας.

B 593 Ἐν τούτῳ δὲ Γήπαιδές τε καὶ Λαγγοβάρδαι αὖθις πολεμησείοντες ἐπ' ἀλλήλους ᾔεσαν. Γήπαιδές τε δύναμιν τὴν τῶν Ῥωμαίων δειμαί- 5 νοντες (ἀνήκοοι γὰρ οὐδαμῇ ἦσαν ὡς Ἰουστινιανὸς βασιλεὺς ὁμαιχμίαν ἐνωμότως πρὸς Λαγγοβάρδας πεποίηται) φίλοι καὶ ξύμμαχοι Ῥωμαίοις γενέσθαι ἐν σπουδῇ ἔσχον. πρέσβεις οὖν ἐς Βυζάντιον εὐθὺς πέμπουσι, βασιλέα καὶ αὐτὸν ἐς τὴν ὁμαιχμίαν παρακαλοῦντες. καὶ ὃς αὐτοῖς V 229 μελλήσει οὐδεμιᾷ ἐπὶ τῇ ξυμμαχίᾳ τὰ πιστὰ ἔδωκε. δεηθέντων δὲ 10 τῶν πρέσβεων τῶνδε καὶ τῶν ἀπὸ τῆς συγκλήτου βουλῆς ἄνδρες δυοκαίδεκα ὅρκια δόντες, ταύτας αὐτοῖς τὰς ξυνθήκας ἐπέρρωσαν. οὐ πολλῷ δὲ ὕστερον Λαγγοβάρδαις κατὰ τὸ ξυμμαχικὸν δεομένοις στρα-

1. ἀναστέλη *Wv* ἀναστέλλει *V* ληίσωνται *V* 2. καὶ *om. MCDW vmf L* 2–3. *Le parole* καὶ αἰφν. – τινας *om. V* 2. ὡς τὴν *Wvf (marg.) L, H* ἀποπορίαν *MCDmf* ἀπορίαν *corr. da* ἀπορείαν *W* ἀπὸρείαν *v* 4. γήπαιδάς *Wv* λογγοβάρδαι *D* λαγοβάρδαι *V* 5–6. τε τὴν ῥωμαίων δειμαίνοντες δύναμιν *V* 5. τῶν *om. WvVL* 6. βασιλὲς *D* 7. διωμότως *V* λαγγοβάρδους *MCDvmf (corr. in marg.), H* λαγγοβάρδη *W* λαγουβ. *V* πεποίηνται *D* πεποίηκεν *Wv* πεποίηκε *f (marg.), Reg.* 8. ἔσχων *Wv* βυζαντίοις *W* βιζαντίοις *v* βυζαντίους *f (marg.), Reg.* 9. αὐτὸν] *f (marg.) L, B* αὐτοὶ *gli altri codd., HP* ἐστὶν ὁμαιχμίοις *Wv* ὅσον *per* ὃς *Wv* 10. μελήσει *MCDWvm f (corr.)* ἔδωκεν *V* 11–12. δύο καὶ δέκα *D* διοκαίδ. *Wv* 12. ταύτη οἱ αὐτῆς τῆς ξυνθήκης *W (ταύτ. αὐτ. corr. di m. rec.) v (εἱ) L* συνθήκας *V* 13. λαγγο-

tenerli, quando, passando il Danubio, venissero a devastare l' impero romano e poi da questo repentinamente si partissero. Volle ei quindi cercare di venire ad accordi coi Gepidi.

Intanto i Gepidi ed i Longobardi tornavano a farsi guerra fra di loro. I Gepidi temendo la potenza dei Romani, dacchè punto non ignoravano che Giustiniano imperatore avea coi Longobardi un patto giurato di alleanza, cercavano di farseli amici ed alleati. Mandarono quindi tosto legati a Bizanzio a pregare l' imperatore perchè facesse pur con essi alleanza; ed egli senza alcun indugio giurò il patto, e dietro preghiera di questi legati anche dodici senatori confermarono il patto col loro giuramento. Poco dopo avendogli i Longobardi chiesto aiuto secondo l' al-

τιὰν εἰς ξυμμαχίαν ἐπὶ Γήπαιδας Ἰουστινιανὸς βασιλεὺς ἔπεμψεν, ἐπενεγκὼν Γήπαισι Σκλαβηνῶν τινας ἐπὶ πονήρῳ Ῥωμαίων μετὰ τὰς ξυνθήκας διαβιβάσαι ποταμὸν Ἴστρον. ἡγοῦντο δὲ τῆς στρατιᾶς ταύτης Ἰουστῖνός τε καὶ Ἰουστινιανὸς οἱ Γερμανοῦ παῖδες καὶ Ἀράτιός τε καὶ 5 Σουαρτούας, ὃς πρὸς Ἰουστινιανοῦ μὲν ἄρχειν Ἐρούλοις κατέστη πρότερον, ἐπαναστάντων δέ οἱ τῶν ἀπὸ Θούλης τῆς νήσου ἡκόντων, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, ἐς βασιλέα τε ἀφίκετο φεύγων καὶ Ῥωμαίοις στρατηγὸς τῶν ἐν Βυζαντίῳ καταλόγων εὐθὺς γέγονε, καὶ Ἀμαλαφρίδος, Γότθος ἀνήρ, Ἀμαλαφρίδης μὲν θυγατριδοῦς, τῆς 10 Θευδερίχου τοῦ Γότθων βασιλέως ἀδελφῆς, Ἑρμενεφρίδου δὲ υἱὸς τοῦ Θορίγγων ἡγησαμένου. ὅνπερ Βελισάριος μὲν ξὺν Οὐιττίγιδι ἐς Βυζάντιον ἤγαγε, βασιλεὺς δὲ Ῥωμαίων ἄρχοντα κατεστήσατο, καὶ τὴν αὑτοῦ B 594

βάρδες *M W v m f (corr. di sec. m.), H* λογγοβάρδες *D* λαγοβάρδαις *V* 1. ἐς *V* βασιλὲς *v* 2. σκολαβηνῶν *D (corr.)* σσαβηνῶν *(sic) W (corr.)* σθαβηνῶν *v* πονήρῳ] *i codd., H P* πονηρῷ *B* ἐπὶ *per* μετὰ *V* 3. στρατίας *(sic) W v* 4. ἰουστινιανὸς τὲ ἰουστῖνος οἱ *D* καὶ *innanzi* Ἀράτιός *om. V* 5. σουαρτούαλ *M C W v m f L, H* σουαρτουὰλ *D* σουαρτούαν *V* πρὸ *W v f (marg.), H (id.)* ἄρχων *V* ἐρούλλοις *M D V m f (marg.)* 6. θούλλης *V* 7. ἀφήκετο *W* 8. ῥωμαίους *f (corr.)* βιζαντίω *v* κατὰλόγον *W v* 9. Ἀμαλαφρίδος] *P B* ἀμαλαφρίδας *i codd. (V corr.* ἀμαλαφρίδης *di pr. m.), H* δὲ *per* μὲν *D* θυγατριδῆ *W* 10. ἑρμενίφρου *M L, H* ἑρμενίφρου *C D W m f* 11. θουρίγγων *V* σὺν *V* ξυνιουιτόριδι *(-τόριδι in rasura) W* οὐίττιγι *D* ἰουίττίγιδι *v* ἰουιτίγιδι *m* οὐιτίγιδι *f* ἰουβιτόριδι *f (marg.) L* ἰουτίγιδι *H* 11–12. βυζάτιον *W* βιζάντιον *v* 12. ἤγαγεν *W v*

leanza, Giustiniano imperatore mandò loro un esercito a combatter con essi, accusando i Gepidi di avere dopo il patto tragittati sul Danubio degli Slavi a danno dei Romani. Stavano a capo di quell' esercito Giustino e Giustiniano figli di Germano, Aratio e quel Suartua che era stato da prima nominato da Giustiniano re degli Eruli; rivoltatiglisi quelli che venivano dall' isola di Thule, siccome narrai nei libri antecedenti, sen fuggì presso l' imperatore e tosto fu creato capitano delle truppe regolari di Bizanzio; ed il goto Amalafrido nipote di Amalafrida sorella di Teoderico re dei Goti, e figlio di Ermenefrido, re dei Turingi; il quale Amalafrido fu menato a Bizanzio da Belisario insieme con Vitige, e l' imperatore lo nominò duce dei Romani

ἀδελφὴν Αὐδουὶν τῷ Λαγγοβάρδων ἄρχοντι κατηγγύησε. τοῦ δὲ στρατοῦ τούτου οὐδεὶς παρὰ Λαγγοβάρδας ἀφίκετο, ὅτι μὴ οὗτος Ἀμαλαφρίδος ξὺν τοῖς ἑπομένοις. οἱ γὰρ ἄλλοι ἐν Ἰλλυριοῖς ἀμφὶ πόλιν Οὐλπιάναν βασιλέως ἐπαγγείλαντος διατριβὴν ἔσχον, στάσεως ἐνταῦθα πρὸς τῶν οἰκητόρων γεγενημένης, ὧνπερ ἕνεκα σφίσιν αὐτοῖς οἱ Χριστιανοὶ δια- 5 μάχονται, ᾗπέρ μοι ἐν λόγοις τοῖς ὑπὲρ τούτων γεγράψεται. οἱ μὲν οὖν Λαγγοβάρδαι πανδημεὶ ξὺν τῷ Ἀμαλαφρίδῳ ἐς τὰ Γηπαίδων ἤθη ἀφίκοντο, ὑπαντιασάντων δὲ τῶν Γηπαίδων σφίσι καὶ μάχης καρτερᾶς P 639 γενομένης ἡσσῶνται Γήπαιδες, καὶ αὐτῶν παμπληθεῖς φασιν ἐν τῷ πόνῳ τούτῳ ἀποθανεῖν. Αὐδουΐν τε, ὁ τῶν Λαγγοβαρδῶν βασιλεύς, 10 τῶν οἱ ἑπομένων τινὰς ἐς Βυζάντιον πέμψας εὐαγγέλια μὲν Ἰουστινιανῷ βασιλεῖ ἐδήλου, νενικημένων τῶν πολεμίων, ἐμέμφετο δὲ οὐ παραγενέσθαι οἱ κατὰ τὸ ξυμμαχικὸν τὸν τοῦ βασιλέως στρατόν, καίπερ

1. αὐδουίνω λογγοβ. *D* αὐδουὴν λαγγοβάρδω *Wv* λαγουβάρδων *V* κατεγγύησε *W* 2. λογγοβάρδους *D* λαγγοβάρδη *W* λαγγοβάρδους *v* λαγοβάρδας *V* Ἀμαλαφρίδος] *PB* ἀμαλαφρίδας *i codd., H* 3. σὺν *V* ἰλλυρίοις *Wv* οὐλπίαναν *Wv V* 6. γράψεται *D* εἰ *per* οἱ *Wv* 7. λογγοβάρδαι *D* λαγοβάρδαι *V* σὺν *V* Ἀμαλαφρίδῳ] *PB* ἀμαλαφρίδα *MCDWv Vmf, H* ἀμαλαφρίδη *f (marg.) L* 8. κρατερᾶς *D* 9. φασὶ *W* 10. αὐδουὴν *Wv* λογγοβ. *D* λαγγοβάρδων *Wv* λαγοβάρδων *V* βασιλὲς *W* 11. οἱ *om. D* βιζάντιον *v* εὐαγγέλεια *Wvf (corr.)* 12. ἐδήλουν *WvL* 12-2 *(p. 197)*. πολεμίων | ταῦτα μὲν *(om. le parole* ἐμέμφετο - Γότθους*) V* 13. οἱ *om. D*

e la sorella di lui disposò ad Auduino, re dei Longobardi. Di quell' esercito però non giunse ai Longobardi se non questo Amalafrido insiem coi suoi; poichè gli altri dietro ordine dell' imperatore si fermarono nell' Illirico presso la città di Ulpiana, per una rivoluzione avvenuta fra quegli abitanti motivata da quanto suol esser causa di dissenzioni fra i Cristiani, come narrerò nei libri ad esse relativi. I Longobardi adunque in massa insieme con Amalafrido giunsero al paese dei Gepidi, e questi fattisi loro incontro ed impegnatasi aspra battaglia, i Gepidi ebber la peggio, e dicesi che la massima parte di essi perisse in quel conflitto. Auduino, re dei Longobardi, spedì alcuni del suo seguito a Bizanzio a recare all' imperatore Giustiniano la buona novella della disfatta dei nemici, non senza però fargli un rimprovero di non avergli mandato l' esercito imperiale secondo il patto dell' alleanza, quantunque tanto nu-

Λαγγοβαρδῶν τοσούτων τὸ πλῆθος ἔναγχος ἐσταλμένων ἐφ' ᾧ Ναρσῇ ξυστρατεύσωσιν ἐπὶ Τωτίλαν τε καὶ Γότθους. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ σεισμοὶ κατὰ τὴν Ἑλλάδα ἐπιπεσόντες
5 ἐξαίσιοι τήν τε Βοιωτίαν καὶ Ἀχαΐαν καὶ τὰ περὶ κόλπον τὸν Κρισαῖον κατέσεισαν. καὶ χωρία μὲν ἀνάριθμα, πόλεις δὲ ὀκτὼ ἐς ἔδαφος καθεῖλον, ἐν ταῖς Χαιρώνειά τε καὶ Κορώνεια καὶ Πάτραι καὶ Ναύ- B 595 πακτος ὅλη, ἔνθα δὴ καὶ φόνος γέγονεν ἀνθρώπων πολύς. καὶ χάος δὲ τῆς γῆς πολλαχῆ ἀποσχισθείσης γεγένηται. τὰ δὲ διαιρεθέντα
10 ἔνια σχίσματα μὲν αὖθις ἐς ταὐτὸ ξυνιόντα τὸ πρότερον τῇ γῇ σχῆμά τε καὶ εἶδος ἀπέδωκεν, ἔστι δὲ οὗ καὶ διεστηκότα μεμένηκεν· ὥστε οὐδὲ ἀλλήλοις ἐπιμίγνυσθαι οἱ τῇδε ἄνθρωποί εἰσι δυνατοὶ ὅτι μὴ περιόδοις πολλαῖς χρώμενοι. ἐν δέ γε τῷ πορθμῷ, ὅνπερ μεταξὺ Θεσσαλίας τε καὶ Βοιωτίας ξυμβαίνει εἶναι, γέγονέ τις ἐκ τοῦ αἰφνιδίου

1. λογγοβ. *D* ἐσταρμένων *(sic) Wv* ἐπαρμένων *L* 2. ξυνστρατεύσωσι *W* τῶττίλαν *W* τουτίλλαν *L* 3. τῆσδε *D* 4. ἐλάδα *Wv* 5. βιωτίαν *D* βυσιτίαν καὶ ἀχυίαν *W* κόλπων *MDmf (corr.)* τὸ *per* τὸν *D* κρησαῖον *MDv* κρησσαῖον *Cmf (corr. in marg.), H* 6. κατέστησαν *D* 7. αἷς *V* χερώνειά *MCDWvmf* τε *om. D* Κορώνεια καὶ Πάτραι] *PB* κορώνη ἦν καὶ πάτρα *i codd. (v* ἦν *V* κορώνεια*), H* 7-8. ναύπακτον *D* 8. φθόνος *W* 9. πολλάκις *WvL* πολλαχόσε *V* διερεθέντα *Wv* 10. σχῆμα *MCDvmf, HP* σχῖσμα *WL (corr.)* σχιμα *V (corr.* σχῆμα *di pr. m.)* 11. ἀπέδωκε *D* ἔστιν *Wv* μεμένηκε *D* 12. δὲ *per* οὐδὲ *W* 13. πολλάκις *f (corr. in marg.), H* 13-14. μεσαλίας *DWvmf (corr.), H* μεγαλίας *L (di pr. m.)* 14. βιωτείας *D* βιωτίας *Wv* γέγονεν *D*

mero di Longobardi fosse stato testè spedito per assistere Narsete nel combattere Totila ed i Goti. A tanto ne eran queste cose.

In questo tempo orrendi terremoti si produssero in Grecia che sconquassaron la Beozia, l'Acaia ed i paesi del golfo Criseo. Innumerevoli villaggi ed otto città furon prostrate al suolo, fra le quali Cheronea, Coronea, Patrasso e tutta intiera Naupacto; e gran numero di gente vi perì. In molti luoghi si squarciò la terra; in taluni lo squarcio si richiuse e la terra riprese l'aspetto di prima, ma in alcun luogo rimase squarciata, talchè quegli abitanti non posson trovarsi fra di loro se non dietro un lungo giro. Nello stretto che sta fra la Tessaglia e la Beozia il mare repen-

τῆς θαλάσσης ἐπιρροὴ ἀμφί τε πόλιν τὴν Ἐχιναῖον καλουμένην καὶ
H 361 τὴν ἐν Βοιωτοῖς Σκάρφειαν. πόρρω τε τῆς ἠπείρου ἀναβᾶσα καὶ κα-
ταχλύσασα τὰ ἐκείνῃ χωρία ἐς ἔδαφος καθεῖλεν εὐθύς. χρόνος τε πολὺς
ἐπιχωριαζούσῃ τῇ ἠπείρῳ ἐτρίβη, ὥστε τοῖς ἀνθρώποις πεζῇ ἰοῦσι βατὰς
ἐπὶ πλεῖστον γενέσθαι τὰς νήσους, αἵπερ ἔντοσθεν τοῦ πορθμοῦ τούτου 5
τυγχάνουσιν οὖσαι, τοῦ τῆς θαλάσσης δηλονότι ῥοθίου ἐκλείποντος μὲν
τὴν αὐτοῦ χώραν, ἐπιπολάζοντος δὲ παρὰ δόξαν τῇ γῇ ἄχρι ἐς τὰ ὄρη,
ἃ ταύτῃ ἀνέχει. ἡνίκα δὲ τῇ θαλάσσῃ ἐς τὰ οἰκεῖα ἐπανιέναι ξυνέ-
πεσεν, ἰχθύες ἐν τῇ γῇ ἀπελείποντο, ὧνπερ ἡ ὄψις ἀήθης παντάπασιν
οὖσα τοῖς τῇδε ἀνθρώποις τερατώδης τις ἔδοξεν εἶναι. οὓς δὴ ἐδωδί- 10
μους εἶναι οἰόμενοι ἀνείλοντο μὲν ὡς ἑψήσοντες, θέρμης δὲ αὐτῶν τῆς
ἐκ τοῦ πυρὸς ἁψαμένης ἐς ἰχῶράς τε καὶ σηπεδόνας οὐ φορητὰς τὸ
B 596 σῶμα ὅλον ἀποκεκρίσθαι ξυνέπεσεν. ἀμφὶ δὲ τὰ ἐκείνῃ χωρία, οὗ

1. ἐχιναίων *W v f (marg.) L* ἐχίναιον *V* 2. βιωτοῖς *D (corr.)* βοιωτίά *W v* βιωτοῖς *V* Σκάρφειαν] *L, B* σκάρφιαν *M C D V v m f, H P* σκάρφι *W* πόρω *W v* ἀναβάσα *W v* 2-3 καταχλείσασα *W v* 3. τε τῆ θαλάσση πολὺς *V* 4. εἰ πείρω *D* πεζοὶ *W* πεζοῖς *f (marg.), Reg.* 5. κέπερ (κέ *in rasura*) *W* έπερ *v* καίπερ *f (marg.) L, P (marg.)* ἔντοσθεν] *V* ἔνευθεν *W* ἐντεῦθεν *f (marg.) L, H* ἔνδοθεν *gli altri codd., B* ἐνθένδε *P* 6. τυγχάνουσι *D* θαλάττης *W v* ἐκλεί-ποτος *W v* ἐκλιπόντος *V* 7. αὐτῆς *V* παραδόξαν *M C D W v m f* τὴν γὴν *V* εἰς *L* 8. εἰς *W v* οἰκία *W* 8-9. ξυπέπεσεν *v (corr.)* 9. ἀπελείποντο] *L, B* ἀπελίποντο *gli altri codd., H P* ὧν *V* ἀήθις *W v* 10. τίδε *W* τερατώσης *M* τεράτωσίς *C* τεράτωσής *m f (corr.)* 10-11. ἐδωδήμους *W v* 11. οἰώμενοι *W v* μὲν *om. W v* ἐψήσαντες *V* 12. χῶρας *W v* φοριτὰς *W v* 13. ἀποκεκρίστε *W v*

tinamente invase la città di Echino e quella di Scarfia in Beozia, e spingendosi molto innanzi sul continente ed inondando quei villaggi li mise tosto in rovina; e per lungo tempo rimase fermo sul continente, talchè la gente potea recarsi a piedi alle isole che trovansi per entro quello stretto, avendo il mare ritirato i suoi flutti dal proprio suo posto e voltili invece, contro ogni credere, sulla terra fino ai monti che sorgon là presso. Quando poi il mare tornò al suo posto, rimaser pesci sulla terra, spettacolo insolito che agli occhi di quella gente parea miracoloso. E credendo che fossero comestibili li presero per cuocere, ma appena tocchi dal calor del fuoco si disfaceano tutti in marciume e putredine disgustosa. In quelle località poi dove la terra si squarciò, talchè gliene

δὴ σχίσμα ὠνόμασται καὶ σεισμὸς ὑπερμεγέθης ἐπιπεσὼν πλείω φόνον
ἀνθρώπων ἢ ἐν πάσῃ τῇ ἄλλῃ Ἑλλάδι εἰργάσατο, μάλιστα ἐπεί τινα
ἑορτὴν πανηγυρίζοντες ἔτυχον ἐκ πάσης τῆς Ἑλλάδος ἐνταῦθα τότε V 230
τούτου δὴ ἕνεκα ξυνειλεγμένοι πολλοί. ἐν δὲ Ἰταλίᾳ τάδε ξυνέπεσε.
5 Κροτωνιᾶται καὶ στρατιῶται οἳ τὸ φυλακτήριον ταύτῃ ἔχοντες, ὧν Παλ-
λάδιος ἦρχε, πικρότατα πρὸς Γότθων πολιορκούμενοι καὶ πιεζόμενοι τῶν
ἀναγκαίων τῇ ἀπορίᾳ, πολλάκις μὲν λαθόντες τοὺς πολεμίους, ἔπεμψαν
ἐν Σικελίᾳ, μαρτυρόμενοι τοὺς ἐνταῦθα τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντας
καὶ διαφερόντως τὸν Ἀρταβάνην, ὡς εἰ μὴ βοηθοῖεν ὅτι τάχιστα σφίσιν,
10 οὗτοι ἐθελουσίως σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν οὐ πολλῷ ὕστερον τοῖς
πολεμίοις ἐνδώσουσιν. οὐδεὶς δὲ αὐτοῖς ἐπικουρήσων ἐνθένδε ἦλθε.
καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ ἑπτακαιδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ
τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

1. δὲ *W (corr.)* τὸ σχ. *M C m f* τὸ σχῆμα *D W v V f (marg.), Reg.* ὀνόμαστε *W v* γενόμενος *per* ἐπιπ. *V* φθόνον *W* 2. ἑλάδι *v* εἰσγάσατο *(sic) W* μάλιστα] *V* μάλ. δὲ *gli altri codd. e le edd.* 2-3. ἐπεί - ἔτυχον] *V* ἐπί τινα ἑορτήν. πανηγυρ. ἔτυχον γὰρ *gli altri codd.* (γὰρ ἔτυχον *f in marg.) e le edd.* (γὰρ ἔτυχον *P B)* 3. τῆς] *D, le edd.* τε τῆς *gli altri codd.* ἑ(λ)λάδος *W* ἑλάδος *v* 4. ξυνηνεγμ. *W L* ξυνελεγμ. *v* πολλοί *om. V* ξυνέπεσεν *W v* 5. οὗ *per* ὧν *W v f (marg.) L, H* 5-6. παλάδιος *W (corr.) v m f L, H* 6. πολυορκούμ. *D W v* 8. μαρτυρούμ. *D L* 9. διαφερόντος *W v* βοηθεῖεν *M C D W v m f* 10. οὔτι *C D* πολῶ *v* 11. ἐνδώσουσι *W* δὲ ἐνθένδε αὐτοῖς ἐπικ. ἦλθε *V* ἐπικουρίσων *v* 12. χιμὼν *v* ἑπτὰ καὶ δέκατον *D* ἑπτακεδέκατον *W (corr.) v* ὀκτωκαιδέκατον *Reg.* τελευτὰ *W* 13. τούτῳ *D* τόδε *W v* ξυνεγράψατο *V*

rimase il nome (schisma) ed il terremoto fu più violento, produsse questo più morti di persone che in tutto il resto della Grecia, tanto più che celebrandovisi una festa molti trovavansi colà per questa raccolti da tutta la Grecia. In Italia poi ecco quanto avvenne. Quei di Crotone ed i soldati di quel presidio comandati da Palladio, strettamente assediati dai Goti e travagliati dalla mancanza di vettovaglie, più volte di nascosto dei nemici spediron messi in Sicilia, dichiarando a quei duci dell'esercito romano, e singolarmente ad Artabane, che se non li soccorressero al più presto essi, ben loro malgrado, non tarderebbero ad arrendersi colla città ai nemici; ma niuno andò di là in loro soccorso. E l'inverno venne al termine ed il decimosettimo anno si compieva di questa guerra di cui Procopio scrisse la storia.

P 640 κϛ'. Βασιλεὺς δὲ μαθὼν τὰ ἐν Κρότωνι πρασσόμενα πέμψας εἰς τὴν Ἑλλάδα ἐκέλευσε τοὺς ἐν Θερμοπύλαις φρουροὺς ἔς τε τὴν Ἰταλίαν πλεῖν κατὰ τάχος καὶ τοῖς ἐν Κρότωνι πολιορκουμένοις βοηθεῖν δυνάμει τῇ πάσῃ. οἱ δὲ κατὰ ταῦτα ἐποίουν. ἄραντες δὲ σπουδῇ πολλῇ καὶ πνεύματος ἐπιφόρου ἐπιτυχόντες ἀπροσδόκητοι τῷ Κροτωνιατῶν λιμένι προσέσχον. (5) οἵ τε βάρβαροι ἐξαπιναίως τὸν στόλον ἰδόντες αὐτίκα δὴ μάλα ἐς δέος μέγα ἐμπεπτωκότες θορύβῳ πολλῷ τὴν πο-B 597 λιορκίαν διέλυσαν. καὶ αὐτῶν οἱ μέν τινες ναυσὶν ἐς τὸν Ταραντίνων λιμένα διέφυγον, οἱ δὲ πεζῇ ἰόντες ἐς ὄρος τὸ Σκύλαιον ἀνεχώρησαν· ἃ δὴ ξυνενεχθέντα πολλῷ ἔτι μᾶλλον ἐδούλωσε Γότθων τὸ φρόνημα. καὶ (10) ἀπ' αὐτοῦ Ῥάγναρίς τε, Γότθος ἀνὴρ δόκιμος μάλιστα, ὃς τοῦ ἐν Ταραντίνοις φυλακτηρίου ἦρχε, καὶ Μόρρας, ὅσπερ ἐφειστήκει τοῖς ἐν Ἀχε-

1. δὲ *om. V* πρασόμενα *Wv* ἐς *V* 2. ἐλάδα *Wv* ἐκέλευσεν *W* ἐκέλευε *V* 3. πλὴν *Wv* τοὺς *per* τοῖς *V* κρότωνη *Wv* πολυορκουμένοις *Wv* 4. ἄραστε *W* ἀράμενοι *f (marg.), Reg.* τε *per il secondo* δὲ *V* 5-6. κροτῶν *D* 6. λιμένη *V (corr.)* ἐξαπηναίως *v (corr.)* 8. ναυσὶ *W* ταραντίνον *W (corr.)* ταραντηνῶν *V* 9. δὲ πεζῇ ἰόντες] *V, PB* δ' ἐπεξιόντες *MCWvmfL, H* δ' ἐπ' ἀξιόντες *D* ὄλος *Wv* σκύλλαιον *V* ἀνεχώρησιν *D* 10. μᾶλον *v* ἐδούλωσαν *Wvf (marg) L* ἐδούλευσε *HP* 11. ῥάγναρής *Wv* ῥαγναρῆς *V* γατθαρής *f (marg.), Reg.* γότθων ἀνὴρ δόκειμος *W* 11-12. Ταραντίνοις] *V* ταράντης* *WvL* ταράντοις *gli altri codd. e le edd. (B* Τάραντι *in nota).* 12. μόρας *DV* μόρρεις *Wv (corr.)* μόρρει *f (marg.) L* ἐφεστήκει *D* 12-1 *(p. 201).* ἀχαιροντία *V*

XXVI. L' imperatore, avendo appresi i fatti di Crotone, spedì messi in Grecia con ordine che le truppe di presidio alle Termopili navigassero al più presto verso l' Italia e recassero con ogni potere soccorso agli assediati in Crotone. E coloro tanto eseguirono. Salpati sollecitamente e incontrato vento propizio improvvisamente approdarono al porto di Crotone. Al subitaneo apparir della flotta i barbari, messi in grande spavento, subito tumultuariamente sciolser l' assedio; e quali di essi si rifugiò con navi nel porto di Taranto, quali marciando a piedi ripararono al monte Scilleo. Quindi Ragnaris, valente Goto che comandava il presidio di Taranto, e Morra che comandava la guarnigione di Acherontia, per volere della loro gente, vennero

ροντίᾳ φρουροῖς, Πακουρίῳ τῷ Περανίου τῶν ἐν Δρυοῦντι Ῥωμαίων ἄρχοντι, γνώμῃ τῶν σφίσιν ἑπομένων, ἐς λόγους ἦλθον, ἐφ' ᾧ δὴ ἀμφὶ τῇ σωτηρίᾳ τὰ πιστὰ πρὸς Ἰουστινιανοῦ βασιλέως λαβόντες Ῥωμαίοις σφᾶς τε αὐτοὺς ἐγχειρίσουσι ξὺν τοῖς ἑπομένοις καὶ τὰ ὀχυρώματα, 5 ὧνπερ ἐπὶ τῇ φυλακῇ καταστάντες ἐτύγχανον. ἐπὶ ταύτῃ μὲν οὖν τῇ ὁμολογίᾳ Πακούριος ἐπὶ Βυζαντίου κομίζεται.

Ναρσῆς δὲ ἐκ Σαλώνων ἄρας ἐπὶ Τωτίλαν τε καὶ Γότθους ᾔει παντὶ τῷ Ῥωμαίων στρατῷ, μεγάλῳ ὑπερφυῶς ὄντι. χρήματα γὰρ κεκομισμένος ἐπιεικῶς μεγάλα πρὸς βασιλέως ἐτύγχανεν. ἀφ' ὧν δὴ 10 ἔμελλε στρατιάν τε ἀξιολογωτάτην ἀγεῖραι καὶ ταῖς μὲν ἄλλαις ἐπαρκέσειν τοῦ πολέμου ἀνάγκαις, τοῖς δὲ δὴ ἐπὶ τῆς Ἰταλίας στρατιώταις ἐκλῦσαι τὰ πρόσθεν ὀφλήματα πάντα, ἐφ' οἷσπερ αὐτοῖς ὑπερήμερος χρόνου πολλοῦ βασιλεὺς ἐγεγόνει, οὐ κομιζομένοις ἐκ τοῦ δημοσίου,

1. βακουρίω *V* τῷ] *i codd.* τῷ τοῦ *le edd.* περανίῳ *i codd.* τῷ *per* τῶν *WL* ἐδρυοῦντι *W (corr. di m. rec.)* 2. γνώμνη *W* σφίσι *W* 4. τε *om. V* ἐγχειρήσουσι *M* ἐγχειρίζουσι *Wvf (marg.), Reg.* 5. ἐπεὶ ταύτῃ *D* 6. ὀλολογία *(sic) D* κακούριος *Wv* βακούριος *V* βιζάντιον *Wv* βυζάντιον *f (marg.), Reg.* 7. ναρσῆς *Wv* τουττίλαν *V* τωτίλλαν *L* 8. ῥωμαίω *W* 9. κεκοσμημένος *D* κεκοσμισμένος *W* ἐπιοικῶς *v* μέγα *D* ἐτύγχανε *W* 10. ἔμμελε *D* τε *om. D* ἀξιολογοτάτην *W* μὲν *om. V* 10-11. ἐπαρκέσαι *Braun* 11. τοὺς δὲ - στρατιώτας *Suida che s. v.* ὑπερήμερος *riferisce questo passo fino a* συντάξεις *(p. 202, r. 1).* 12. ἐκλύσαι *CDmf* 13. βασιλεῖ *MCDmf, H* βασιλέως *Wvf (marg.), H (id.)*

a trattative con Pacurio, figlio di Peranio, comandante dei Romani che erano in Otranto, onde, ricevuta solenne promessa di incolumità dall' imperator Giustiniano, arrendersi ai Romani insieme alle loro truppe ed alle fortezze di cui erano a guardia. E Pacurio partì per Bizanzio per tal trattativa.

Narsete salpò da Salona procedendo contro Totila ed i Goti con tutto l' esercito romano, che era sommamente grande. Poichè avea egli ricevuto dall' imperatore ingenti somme di danaro per raccoglier con quelle un' armata quanto mai considerevole, e per provvedere pure agli altri bisogni della guerra, come anche per pagare ai soldati d' Italia tutti gli arretrati dovuti loro da molto tempo dall' imperatore, non avendo essi ricevuto dall' erario

ᾗπερ εἴθισται, τὰς σφίσι τεταγμένας ξυντάξεις· ἔτι μέντοι καὶ αὐτῶν
B 598 βιάσασθαι τῶν παρὰ Τωτίλαν ἀπηυτομοληκότων τὰς γνώμας, ὥστε δὴ
αὐτοὺς τοῖς χρήμασι τούτοις χειροήθεις γεγενημένους τὴν ἐπὶ τῇ πο-
λιτείᾳ μεταγνῶναι προαίρεσιν. λίαν γὰρ τὰ πρότερα πόλεμον τόνδε
ἀπημελημένως διαφέρων Ἰουστινιανὸς βασιλεὺς ἀξιολογωτάτην αὐτοῦ 5
πεποίηται τὴν παρασκευὴν ἐν ὑστάτῳ. ἐπειδὴ γὰρ αὐτόν οἱ ὁ Ναρσῆς
P 641 ἐγκείμενον εἶδεν, ἐφ᾽ ᾧ ἐς Ἰταλίαν στρατεύοι, φιλοτιμίαν ἐνδέδεικται
στρατηγῷ πρέπουσαν, οὐκ ἄλλως βασιλεῖ ἀπαγγέλλοντι ὑπηρετήσειν
ὁμολογήσας, ἢν μὴ τὰς δυνάμεις ἀξιομάχους ἐπάγεσθαι μέλλῃ. χρή-
H 362 ματά τε οὖν καὶ σώματα καὶ ὅπλα τῷ τρόπῳ τούτῳ ἐπαξίως πρὸς τοῦ 10
βασιλέως κεκόμισται τῆς Ῥωμαίων ἀρχῆς, καὶ προθυμίαν αὐτὸς ἀοκνο-
τάτην ἐπιδειξάμενος ἀξιόχρεων στρατιὰν ἐξήγειρεν. ἔκ τε γὰρ Βυζαντίου
ἐπηγάγετο Ῥωμαίων στρατιωτῶν μέγα τι χρῆμα κἀκ τῶν ἐπὶ Θρᾴκης
χωρίων ἔκ τε Ἰλλυριῶν πολλοὺς ἤθροισε. καὶ Ἰωάννης δὲ ξύν τε τῷ

1. συντάξεις *V* μέντι *W* 2. περὶ *Wv* τῶντίλαν *W* τώτιλαν *v* τουττίλαν *V* τωτίλλαν *L* 3. χειροήθης *corr. da* χειροήθεις *W* γεγενημένοις *D* 5. ἀπημελημένως *om. V* βασιλὲς *v* 6. πεποίηνται *D* 6–7. αὐτὸν οἷον ἐγκείμενον ναρσῆς εἶδεν *V* 6. οἱ *om. D* ναρσὴς *Wv* 7. στρατεύει *v* 8. ἀπαγγέλοντι *Wv* 9. μέλλει *V* 12. ἐξήγειρον *f, H (corr. in marg.)* γὰρ] *V; om. gli altri codd. e le edd.* βιζαντίων *W* βιζαντίου *v* 13. ἐπήγαγε τὸ *(sic) W* καὶ *per* κἀκ *W* κἀκ *corr. da* καὶ *v* 14. *Il secondo* τε *om. V*

come al consueto il pattuito stipendio. Inoltre egli avea da agire sulla volontà di quei di loro che avean disertato presso Totila, perchè mansuefatti col danaro tornassero a preferire lo Stato romano. Poichè l' imperatore Giustiniano, che già prima assai negligentemente erasi occupato di questa guerra, ora per ultimo erasi deciso a provvedervi magnificamente. Narsete infatti, vedendolo fargli premura perchè si recasse coll' esercito in Italia, manifestò ambizione degna di un comandante supremo con rispondere ch' egli all' ordine imperiale non avrebbe ottemperato se non fosse per menar seco forze proporzionate all' impresa. E per tal guisa dall' imperatore egli si ebbe danari e uomini e armi come si addice all' impero romano; ed egli stesso dando prova di uno zelo infatigabile levò un esercito di valore. Chè già da Bizanzio ei menò via grandissimo numero di soldati e ben molti ne raccolse dai paesi di Tracia e dell' Illirico. E Giovanni si

οἰκείῳ στρατεύματι καὶ τῷ πρὸς Γερμανοῦ τοῦ κηδεστοῦ ἀπολελειμμένῳ V 231
ξὺν αὐτῷ ᾔει. καὶ Αὐδουίν, ὁ Λαγγοβαρδῶν ἡγούμενος, χρήμασι πολ-
λοῖς ἀναπεισθεὶς Ἰουστινιανῷ βασιλεῖ καὶ τῇ τῆς ὁμαιχμίας ξυνθήκῃ,
πεντακοσίους τε καὶ δισχιλίους τῶν οἱ ἑπομένων ἀπολεξάμενος ἄνδρας
5 ἀγαθοὺς τὰ πολέμια ἐς ξυμμαχίαν αὐτῷ ἔπεμψεν, οἷς δὴ καὶ θεραπεία
εἵπετο μαχίμων ἀνδρῶν πλέον ἢ τρισχιλίων. εἵποντο δὲ αὐτῷ καὶ τοῦ
Ἐρούλων ἔθνους πλέον ἢ τρισχίλιοι, ἱππεῖς ἅπαντες, ὧν ἄλλοι τε καὶ
Φιλιμοὺθ ἦρχον, καὶ Οὖννοί τε παμπληθεῖς καὶ Δαγισθαῖος ξὺν τοῖς
ἑπομένοις ἐκ τοῦ δεσμωτηρίου διὰ τοῦτο ἀπαλλαγείς, καὶ Καβάδης, B 599
10 Πέρσας ἔχων αὐτομόλους πολλούς, ὁ Ζάμου μὲν υἱός, Καβάδου δὲ τοῦ
Περσῶν βασιλέως υἱωνός, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην,
ἅτε δὴ Χαναράγγου σπουδῇ διαφυγόντος τε Χοσρόην τὸν θεῖον καὶ
πολλῷ πρότερον ἀφικομένου ἐς τὰ Ῥωμαίων ἤθη· καὶ Ἄσβαδος, νεανίας

1. ἀπολελειμένω *Wv* 2. αὐδουσὶν *Wv* λογγοβαρδῶν *D* λαγοβαρδῶν *V* 3. τῇ *om. D* 4. οἱ *om. D* 5. αὐτῶς *(sic) V* ἔπεμψαν *WvL* « λείπει ἴσ. σὺν » *f (marg.)* 5-6. δὴ καὶ θεραπεία εἵπετο] *V* καὶ θεραπεία *MCDmf* καὶ θεραπείαν *Wv, le edd.* 6. μαχειμων *Wv* ἀνδρῶν] *i codd.* ἀνδρ. ἔδωκε *le edd.* *Dopo* τρισχιλίων *segno di lacuna in L* αὐτῶν *W* 7. ἐρούλλων *MDVmf* 8. διαγισθαῖος *D* 9. δημωτέρου *Wv* ἀπαλαγεὶς *W* 12. τοῦ *per* δὴ *V* χαναρέγγου *Wvf (marg.) L* τῶν θεῶν *D* 13. ἀφικομένων *WvL* ἀσβάδος *MCWvmf, HP* ἄσβαδος *V*

unì a lui colla propria armata e con quella che avea lasciata il suo suocero Germano. E Auduino, re dei Longobardi, indotto da Giustiniano imperatore con molto danaro e coll'impegno preso nel patto di alleanza, scelti duemila e cinquecento uomini valorosi della sua gente li spedì al di lui soccorso, dando loro come addetti al servigio tremila uomini pur atti alla guerra. E più di tremila Eruli tutti a cavallo, comandati da Filimuth e da altri, misersi pure al suo seguito, oltre a grandissimo numero di Unni ed a Dagistheo colla sua gente, il quale a tal uopo era stato liberato dalla prigione. Ed anche con molti Persiani disertori Cabade, figlio di Zamo e nipote di Cabade re di Persia; del quale feci parola nei libri antecedenti, dicendo come egli per opera di Canarange fosse sfuggito allo zio Chosroe e già assai prima riparasse sul suolo romano. Ed inoltre Asbado, giovanetto gepide assai valoroso, menando

τις, Γήπαις γένος, διαφερόντως δραστήριος, ὁμογενεῖς τετρακοσίους ξὺν αὐτῷ ἔχων, ἄνδρας ἀγαθοὺς τὰ πολέμια· καὶ Ἄρουθ, Ἔρουλος μὲν τὸ γένος, ἐκ παιδὸς δὲ Ῥωμαίων τὴν δίαιταν στέρξας καὶ τὴν Μαυρικίου τοῦ Μούνδου γυναῖκα γαμετὴν ποιησάμενος, αὐτός τε μαχιμώτατος ὢν καὶ πολλοὺς τοῦ Ἐρούλων ἔθνους ἑπομένους ἔχων ἐν πολέμου κινδύνοις ὡς μάλιστα δοκιμωτάτους· Ἰωάννης τε, ὁ Φαγᾶς τὴν ἐπίκλησιν, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, Ῥωμαίων ἐπαγόμενος ὅμιλον ἀνδρῶν μαχίμων. ἦν δὲ μεγαλοδωρότατος ὁ Ναρσῆς καὶ πρὸς τὸ εὖ ποιεῖν τοὺς δεομένους ὀξὺς ἐς ἄγαν, δύναμίν τε πολλὴν περιβεβλημένος ἐκ βασιλέως ἀδεέστερον ἐς τὰ σπουδαζόμενα ἐχρῆτο τῇ γνώμῃ. καὶ ἀπ' αὐτοῦ πολλοὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τε καὶ στρατιῶται εὐεργέτου αὐτοῦ ἔτυχον. ἐπεὶ οὖν ἀπεδέδεικτο στρατηγὸς ἐπὶ Τωτίλαν τε καὶ Γότθους, ὡς ἀσμενέστατα ἕκαστοι στρατεύεσθαι ὑπ' αὐτῷ ἤθελον, οἱ μὲν ἐκτίνειν οἱ ἐθέλοντες παλαιὰς χά-

1. διαφερόντος *Wv* 2. αὐτῶ *MCDWvVmf (corr.)* ἄρους *Wf (marg.), Reg.* ἀροῦθ *V* ἔρουλλος *MCvVmf (corr.)* 3. διέταν *W (corr.)* 3-4. *Le parole* καὶ τὴν - ποιησάμενος *om. V* 3. τὴν Μ.] *MCDWvfmL* τὴν παῖδα Μ. *le edd.* 4. μετὴν *(sic) D* 5. ἐρούλλων *MCvVmf* 6. φευγὰς *W* 7-8. ἐπαγαγόμενος *V* 8. ὅμιλος *Df (corr.)* ἣν *W* οὖν *per* δὲ *V; om. D* 9. τοὺς δεομένους] *V* τοῖς δεομένοις *gli altri codd. e le edd.* δυναμένην τὲ *Wv* 11. καὶ *ripete W* ὑπ' *D.* 12. στρατηγοὶ *per* στρατιῶται *V* εὐεργέτον *(sic) Wv* ἀποδέδεικτο *V* 13. τουττίλαν *V* τωτίλλαν *L* 14. ἤθελεν *f* ἐκτείνειν *MDWvmfL (corr.), P* οἱ *dopo* ἐκτ. *om. D* παλαιᾶς *D*

seco quattrocento forti guerrieri suoi connazionali; e l' erulo Aruth che fin da fanciullo erasi affezionato al viver romano ed erasi ammogliato colla figlia di Maurizio, figlio di Mundo; egli, uomo valorosissimo, avea seco ben molti Eruli distintissimi nei perigli della guerra; e Giovanni soprannomato Mangione, di cui feci parola nei libri antecedenti, che menava una schiera di forti guerrieri romani. Era poi Narsete sommamente generoso e pronto assai a beneficare i bisognosi; e tanto era il potere di cui l'imperatore avealo investito che assai liberamente agiva in tutto quanto gli talentasse; onde già pel passato ben molti duci e soldati aveano avuto in lui un benefattore. Quindi, appena egli fu nominato comandante contro Totila ed i Goti, tutti mostraronsi quanto mai volenterosi di militare sotto di lui; quali per ricono-

ριτας, οἱ δὲ καραδοκοῦντες, ὡς τὸ εἰκὸς, μεγάλων ἀγαθῶν παρ' αὐτοῦ τεύξεσθαι. μάλιστα δὲ αὐτῷ Ἔρουλοί τε καὶ οἱ ἄλλοι βάρβαροι εὐνοϊκῶς εἶχον, διαφερόντως πρὸς τοῦ ἀνθρώπου εὖ πεπονθότες. B 600

Ἐπειδὴ δὲ Βενετίων ὡς ἀγχοτάτω ἐγένετο, παρὰ τῶν Φράγγων τοὺς ἡγεμόνας, οἳ τῶν ἐκείνῃ φυλακτηρίων ἦρχον, ἄγγελον στείλας ᾐτεῖτο τὴν δίοδον σφίσιν ἅτε φίλοις οὖσι παρέχεσθαι. οἱ δὲ τοῦτο Ναρσῇ ἐπιτρέψειν οὐδεμιᾷ μηχανῇ ἔφασαν, ἐς μὲν τὸ ἐμφανὲς οὐκ ἐξενεγκόντες, ἀλλ' ὡς ἔνι μάλιστα κατακρυψάμενοι, τοῦ Φράγγων ἕνεκα ξυμφόρου, ἢ τῆς ἐς τοὺς Γότθους εὐνοίας τὴν κωλύμην ποιεῖσθαι, σκῆψιν δέ τινα οὐ λίαν εὐπρόσωπον δόξασαν εἶναι προβεβλημένοι, ὅτι δὴ Λαγγοβάρδους τοὺς σφίσι πολεμιωτάτους οὗτος ἐπαγόμενος ἥκει. ἐπὶ τούτοις διαπορουμένῳ τὴν ἀρχὴν τῷ Ναρσῇ καὶ Ἰταλῶν τῶν οἱ παρόντων ἀμφὶ τῷ πρακτέῳ πυνθανομένῳ ἐπήγγελλόν τινες ὡς εἰ καὶ Φράγγοι παρήσουσι σφᾶς τήνδε τὴν δίοδον ποιεῖσθαι, ἀλλ' ἐς Ῥάβενναν P 642

2. ἐρουλλοί *MCDVmf* 4. ἀγχωτάτω *MCWvmf* ἐγένοντο *VL* περὶ *WvL (corr. in marg.)* 6. ἡγεῖτο *V* 6-7. *Le parole* τοῦτο - οὐδεμιᾷ *om. D* 7. ἐπιστρέψειν *Wv* μέντοι τὸ *f (marg.) L* οὐκ] *V* τὴν αἰτίαν οὐκ *gli altri codd. e le edd.* 8. κατακρυψάμενοι] *V; om. gli altri codd. e le edd.* φράγκων *Wv* 9. τοὺς] *V; om. gli altri codd. e le edd.* κωλυμένην *Wv* ποιῆσαι *W* 10. δόξαν *f (marg.) L* 11. λογγοβάρ. *D* 12. ἰταλιωτῶν *D* 13. ἐσήγγελλον *MCDf, H* ἐπήγγελόν *Wvf (marg.), H (id.) P* ἐσήγγελον *m* τινος *D* κε *Wv* 14. φράγκοι *Wv* ποιῆσαι *W* ῥάβεναν *DWv*

scenza di antichi favori; quali nella aspettazione di verosimilmente ottenere da lui grandi beni. Sopra tutti erangli affezionati gli Eruli e gli altri barbari, che da lui erano stati assai ben trattati.

Giunto che fu presso alla Venezia spedì un messo ai duci franchi che comandavano i presidî in quelle località, pregando concedesser loro come ad amici il passaggio; ma coloro risposero che non lo concedevano in alcun modo, senza dire apertamente la ragione qual' era, cioè l' utile dei Franchi stessi o il loro benvolere verso i Goti, ma producendo un pretesto di assai poca apparenza, che cioè egli menava seco dei Longobardi ch' eran loro inimicissimi. Rimase dapprima per tal cosa imbarazzato Narsete, e interrogati sul da farsi gli Italiani che ivi erano, taluni di questi gli fecero riflettere che quando anche i Franchi concedesser loro il passaggio, pur tuttavia mai non potrebbero di

ἐνθένδε κομίζεσθαι οὐδαμῇ ἕξουσιν, οὐδὲ τὴν πορείαν ταύτην ποιεῖ-
σθαι ὅτι μὴ ἄχρι ἐς πόλιν Βερώνην. Τωτίλαν γὰρ ἀπολεξάμενον εἴ
τι δόκιμον ἦν ἐν τῷ Γότθων στρατῷ, στρατηγόν τε αὐτοῖς καταστη-
σάμενον Τεΐαν τὸν Γότθον, ἄνδρα διαφερόντως ἀγαθὸν τὰ πολέμια,
στεῖλαι ἐς πόλιν Βερώνην Γότθων κατήκοον οὖσαν, ἐφ' ᾧ Ῥωμαίων 5
B 601 τῷ στρατῷ διακωλύσοι τὴν πάροδον, ὅσα γε δυνατά. καὶ ἦν δὲ οὕτως.
ἐπειδή τε ὁ Τεΐας ἐγένετο ἐν πόλει Βερώνῃ, τὴν ἐκείνῃ δίοδον τοῖς
πολεμίοις ἀπέφραξε πᾶσαν, ἀδιέξοδά τε καὶ ὅλως ἄπορα πανταχόσε
ἀμφὶ ποταμὸν Πάδον τὰ χωρία εἶναι ἀνάγκῃ χειροποιήτῳ σκευωρησά-
μενος, καὶ πῇ μὲν λόχμας τε καὶ τάφρους καὶ φάραγγας τεκτηνάμενος, 10
πῇ δὲ τέλμινάς τε ὡς βαθυτάτας καὶ χώρους τεναγώδεις τινὰς αὐτὸς
τῷ Γότθων στρατῷ ἐφύλασσεν ἐς τὸ ἀκριβές, ὡς ὁμόσε χωρῆσαι Ῥω-
μαίοις, ἤν τι ἀποπειρῶνται τῆς ἐνθένδε ὁδοῦ. ταῦτα δὲ Τωτίλας ἐμη-
H 363 χανᾶτο, οἰόμενος διὰ μὲν τῆς παραλίας κόλπου τοῦ Ἰονίου Ῥωμαίοις

1. οὐδαμῶς *Wvf (marg.) L* πορίαν *W* 2. Βερώνην] *L, B* βερόνην *gli altri codd., HP* τωτίλα *D* τώτιλαν *v* τωτίλλαν *L* ἀπειλεξάμενον *W* 4. τέϊαν *Wv* γότθων *D* διαφερόντος *v* 5. Βερώνην] *L, B* βερόνην *MCDW (da* βερόνιν *di m. rec.) mf, HP* βερόνιν *v* οὖσα *D* 5-6. τῷ ῥωμ. στρατῷ *WvL* 6. διακωλύσοι] *f (marg.), Reg.* διαλύοι *D* διακολύσι *Wv* διακωλύοι *gli altri codd. e le edd.* 7. τε *om. D* τέϊας *Wv* βερόνη *MCDWvmf* *Dopo* βερόνη *D ripete le parole* γότθων *(r. 5)* - πόλει 8. ἀδιέξοδὴ *Wv* ὅλους *Wv (corr. da* ὅλως*)* 9. ἀνάγκην *D* 10. πῆ *MCDWvmf* λόγχμας *Wv* 11. πῆ *MCDWvmf* τέλμηνάς *v (corr.) f (id.)* χώρας *D* τεναγώσεις *D* 12. τῶν *D* ἐφύλασεν *Wv* ὡς τὸ ὁμ. *Wv* 13. τώτιλας *v* τωτίλλας *L* 14. τοῦ *om. D*

là recarsi a Ravenna nè procedere più oltre di Verona, poichè Totila scelto il meglio dell' esercito goto e datogli a capitano il goto Teia, militare di gran valore, avealo mandato alla città di Verona, soggetta ai Goti, perchè impedisse a tutta possa la marcia dell' esercito romano. E così era infatti. E giunto che fu Teia a Verona ostruì pei nemici tutto quel transito artificialmente, rendendo del tutto intransitabili ed impratticabili i luoghi sul Po; dove facendo sorgere assiepamenti e fossati e precipizi, dove paludi profonde ed acquastrini, tenevasi egli coll' esercito goto accuratamente in guardia per farsi sopra ai Romani se mai tentassero quella via. Tanto avea Totila macchinato pensando che mai i Romani non potrebbero passare lungo la costiera del

μήποτε δυνατὰ ἔσεσθαι τὴν πορείαν ποιεῖσθαι, ἐπεὶ ναυσίποροι ποταμοὶ
παμπληθεῖς ἐνταῦθα ἐκβολὰς ἔχοντες ἄπορευτα παντάπασι παρέχονται
εἶναι τὰ ἐκείνῃ χωρία· ναῦς δὲ αὐτοὺς τοσαύτας τὸ πλῆθος ὡς ἥκιστα V 232
ἔχειν, ὥστε δὴ ἀθρόους παντὶ τῷ στρατῷ διαπορθμεύεσθαι τὸν Ἰόνιον
5 κόλπον, ἢν δέ γε κατ᾽ ὀλίγους ναυτίλλωνται, αὐτὸς ἂν τῷ καταλοίπῳ
στρατῷ τῶν Γότθων τοὺς ἑκάστοτε ἀποβαίνοντας πόνῳ οὐδενὶ ἀναστείλειε.
τοιαύτῃ μὲν οὖν γνώμῃ ὅ τε Τωτίλας ἐπήγγελλε ταῦτα καὶ ὁ Τεΐας
ἐποίει. Ναρσῇ δὲ λίαν ἀμηχανοῦντι Ἰωάννης ὁ Βιταλιανοῦ, τῶν τῇδε
χωρίων ἐμπείρως ἔχων, παρῄνει παντὶ τῷ στρατῷ μὲν κατὰ τὴν πα-
10 ραλίαν ἰέναι, κατηκόων σφίσιν ὄντων, ὡς προδεδήλωται, τῶν τῇδε ἀν-
θρώπων, παρακολουθεῖν δὲ τῶν νηῶν τινας καὶ ἀκάτους πολλάς. ἐπειδὰν
γὰρ ὁ στρατὸς ἐπὶ ταῖς τῶν ποταμῶν ἐκβολαῖς γένωνται, γέφυραν ἐκ
τῶν ἀκάτων τούτων τῷ τοῦ ποταμοῦ ῥοθίῳ ἐναρμοσάμενοι, ῥᾷον ἂν καὶ B 602
ἀπονώτερον ποιήσαιντο τὴν διάβασιν. ὁ μὲν Ἰωάννης ταῦτα παρῄνει,

1. ποιῆσϑ. *W* 2. παντάπασιν *Wv* παρέχοντε *W (corr.)* 4. ἀϑρόους] *L (per corr.), B* ἀϑρόον *MCWvmf (corr. in marg.), H (id.) P (in marg.* ἀϑόους*)* ἀϑρόων *D* 5. κτ᾽ ὀλίγηναυτίλωντε *W* κτ᾽ ὀλίγηναυτίλωνται *v* ναυτίλονται *D* 6. ἀναστέλειε *MCDmf (corr.)* 7. τώτιλας *Wv* τωτίλλας *L* ἐπήγγελε *MC WvmL* 8. ἐποίη *W* βιταταλιανοῦ *D* 10. κατήκοον *(sic) D* προδεδή-λωτε *W (corr.)* 11. ἐπιδ᾽ ἂν *D* ἐπειμὲν *W* ἐπεὶ μὲν *f (marg.) L* 14. ποιῆ-σαι το *D* ποιήσαντο *W* ἐποιήσαντο *f (marg.), H (id.)*

golfo Ionio, perchè numerosi fiumi navigabili mettendo colà la foce
fanno che quella contrada sia affatto intransitabile, mentre d' altro
lato essi tante navi non avevano da potere in massa con tutto
l' esercito effettuare il passaggio di quel golfo; e se poi a pochi
per volta vi andasser navigando, egli col restante esercito goto li
avrebbe facilmente trattenuti man mano che approdassero. Con
tal pensiero Totila diede quegli ordini, e Teia li eseguì. Mentre
Narsete punto non sapea come cavarsene, Giovanni, nepote di
Vitaliano, che molto prattico era di quei luoghi, gli suggerì di
marciare con tutto l' esercito lungo la costiera, ove, come sopra
abbiamo detto, la popolazione era ancor soggetta all' imperatore,
e farsi seguire da alcune navi e da molte barche. Poichè quando
l' esercito venisse a trovarsi sullo sbocco dei fiumi, formando con
quelle barche un ponte sulla fiumana, più facilmente e con minor
travaglio potesse passare. Tanto suggerì Giovanni e Narsete ac-

πείθεται δὲ Ναρσῆς, καὶ τῷ τρόπῳ τούτῳ παντὶ τῷ στρατῷ ἐπὶ Ῥαβέννης κομίζεται.

P 643 κζ΄. Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ τάδε ξυνηνέχθη γενέσθαι. Ἰλδιγισὰλ Λαγγοβάρδης ἀνήρ, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, αὐτῷ τοῦ Αὐδουὶν ὄντος ἐχθροῦ, ὃς τούτων δὴ τῶν 5 βαρβάρων ἡγεῖτο (αὐτῷ γὰρ τὴν ἀρχὴν κατὰ γένος προσήκουσαν Αὐδουὶν βιασάμενος ἔσχεν) ἐξ ἠθῶν ἀποδρὰς τῶν πατρίων ἐπὶ Βυζαντίου κομίζεται. οὗ δὴ αὐτὸν ἀφικόμενον Ἰουστινιανὸς βασιλεὺς ἐν τοῖς μάλιστα φιλοφροσύνης ἠξίωσεν, ἄρχοντά τε κατεστήσατο ἑνὸς τῶν ἐπὶ τοῦ παλατίου φυλακῆς τεταγμένων λόχων, οὕσπερ σχολὰς ὀνομάζουσιν. 10 εἵποντο δὲ αὐτῷ τοῦ Λαγγοβαρδῶν ἔθνους ἄνδρες ἀγαθοὶ τὰ πολέμια οὐχ ἧσσους ἢ τριακόσιοι, οἳ δὴ μίαν πρῶτον ἐπὶ Θρᾴκης δίαιταν εἶχον. τὸν Ἰλδιγισὰλ οὖν Αὐδουὶν μὲν πρὸς βασιλέως Ἰουστινιανοῦ ἐξῃτεῖτο, ἅτε φίλος τε Ῥωμαίοις καὶ ξύμμαχος ὤν, μισθὸν τῆς φιλίας τὴν προ-

1–2. ῥαβένης *Wv* 3. ᾧ *om. Wv* ἐπράσετο *Wv* 4. ἰνδιγισὰλ *MCDWvmfL, H* λογγοβάρδας *D* λαγγοβάρδας *Wv* 5. λόγοις *om. WL* αὐτὸς *MCDWvmf* δὲ *per* τοῦ *Wv* αὐδουὴν *v (corr.)* 6. ἀβδουὶν *Wv* 7. ἀποδρὰς *om. WvL; in parent. f* βιζαντίου *Wv* 8. ἀφηκόμενον *W* 10. ποταμίου *WL* οὗπερ *Wv* ὅνπερ *L* σχολὴς *W* σχολῆς *L* 11. λογγοβ. *D* 13. ἰνδιγισὰλ *MCDWvmfL, H* 14. ὠνομισθὴ *(ὴ di m. rec.) W*

cettò il suggerimento; e per tal modo con tutto l'esercito si recò a Ravenna.

XXVII. Mentre tanto avveniva colà, nel frattempo accadeano i seguenti fatti. Il longobardo Ildigisalo, da noi ricordato nei libri precedenti, avendo nemico Auduino re di quei barbari, il quale erasi a forza impadronito del regno, che a lui per prosapia apparteneva, fuggito dalla patria si recò a Bizanzio. Giustiniano imperatore lo accolse con grandissima benevolenza e lo nominò duce di una delle schiere della guardia palatina, alle quali si dà il nome di scuole. Insieme con lui eran venuti almeno trecento valenti guerrieri longobardi, i quali prima abitavano insieme nella Tracia. Quand'ecco Auduino farsi a chiedere da Giustiniano imperatore che a lui come ad amico ed alleato dei Romani in premio dell'amicizia consegnasse l'ospite supplichevole Ildigisalo; ma l'im-

δοσίαν αὐτῷ τοῦ ἱκέτου εἰσπραττόμενος. ὁ δὲ τρόπῳ οὐδενὶ ἐδίδου.
χρόνῳ δὲ ὕστερον Ἰλδιγισὰλ, ἐνδεέστερον ἢ κατὰ τὴν ἀξίαν αὐτοῦ καὶ
τὴν Ῥωμαίων δόξαν ἐπικαλῶν οἱ αὐτῷ τήν τε τιμὴν καὶ τὰ ἐπιτήδεια
εἶναι, δυσφορουμένῳ ἐπὶ πλεῖστον ἐῴκει· ὃ δὴ Γόαρ κατενόησε, Γότθος
5 ἀνὴρ, πάλαι τε δορυάλωτος ἐν τῷδε τῷ πολέμῳ ἐκ Δαλματίας ἐνταῦθα B 603
ἥκων, ἡνίκα τὸν πόλεμον Οὐίττιγις ὁ Γότθων βασιλεὺς πρὸς Ῥωμαίους
διέφερε. θυμοειδὴς δὲ ὢν καὶ δραστήριος ἄγαν πρὸς τύχην τὴν παροῦσαν
ζυγομαχῶν διαγέγονεν. ἐπειδὴ δὲ Γότθοι μετὰ τὴν Οὐιττίγιδος ἐπικρά-
τησιν ἐς ἀπόστασιν εἶδον, βασιλεῖ οἱ πάλαι ἀντάραντες, κακουργῶν ἐπὶ
10 τῇ πολιτείᾳ διαφανῶς ἥλω. φυγῇ δὲ ζημιωθεὶς τῆς Αἰγύπτου ἐς ταὐτὸν
κομίζεται, καὶ χρόνος αὐτῷ πολὺς ἐν τῇ ποινῇ ταύτῃ ἐτρίβη. ἀλλ'
ὕστερον οἰκτισάμενος βασιλεὺς κατήγαγεν ἐς Βυζάντιον· οὗτος ὁ Γόαρ
τὸν Ἰλδιγισὰλ ἰδὼν ἀσχάλλοντα, ἧπέρ μοι εἴρηται, ἐνδελεχέστατα

1. οἰκέτου *MCDWvmfL, H* ἐσπρατ. *D* 2. ἰνδιγισὰλ *MCWvmf L, H* ἰνδισὰλ *D* αἰτοῦ *D* 3. οἱ *om. D* τε *om. WL* 4. δυσφορουμένων *DW* 5. δορυάλωτος] *i codd., HP* δοριάλωτος *B* 6. ἰουίτιγις *MWvmfL* 8. γότθων κατὰ *Wvf (marg.), H (id.)* κατὰ *L* ἰουτίγ. *WvL* 8-9. ἐπικράτειαν *Wvf (marg.) L* 9. βασιλέων *f (marg.) L* 10. ζυμιωθεὶς *W* Ταῦαν? *per* ταὐτὸν *cf. Steph. Byz. s. v. e van Herwerden che a ragione crede doversi aspettare qui un nome di luogo.* 11. πολλὺς *Wv* 12. κτισάμενος *D* βασιλὲς *v* εἰς *Wv* βιζάντιον *v* 13. ἰνδιγισὰλ *MCm* ἰλδιγισὰρ *D* ἰλδιγίγαλ *WL* ἀσχάλοντα *Wv* μοι *om. MCDmf (agg. in marg.)*

peratore ricusò affatto di darglielo. In seguito Ildigisalo si mostrò molto malcontento, lagnandosi dell' imperatore che a lui avea dato dignità ed emolumenti troppo inferiori al suo grado ed alla gloria romana; e questo osservò il goto Goar, il quale era venuto colà dalla Dalmazia come prigioniero in questa guerra già nel tempo in cui Vitige, re dei Goti, combattea contro i Romani, ed uomo qual egli era collerico ed impetuoso, alla sorte toccatagli non rassegnato, si ribellava. Quando poi, vinto Vitige, quei Goti che già avean militato contro l' imperatore pensavano a defezionare, egli, provato reo di cospirazione contro lo Stato, fu condannato all' esilio e riparò quindi in Egitto, ove, come esule, rimase lungamente, finchè l' imperatore mosso a compassione lo richiamò a Bizanzio. Questo Goar, adunque, visto Ildigisalo così malcontento, come io già dissi, fattoglisi istante-

νουθετῶν ἀναπείθει δρασμῷ χρήσασθαι, ξὺν αὐτῷ ὁμολογήσας ἐκ Βυζαντίου ἀπαλλαγήσεσθαι. ἐπειδὴ δὲ αὐτοῖς ἡ βουλὴ ἤρεσκε, φεύγουσι
P 644 μὲν ἐξαπιναίως ξὺν ὀλίγοις τισὶν, ἐς δὲ Ἄπρων ἀφικόμενοι τὴν Θρᾳκῶν πόλιν ἀναμίγνυνται Λαγγοβάρδαις τοῖς τῇδε οὖσι. τοῖς τε βασιλικοῖς ἱπποφορβίοις κατατυχόντες μέγα τι χρῆμα ἵππων ἐνθένδε ἐπαγόμενοι 5 πρόσω ἐχώρουν. ὧνπερ ἐπειδὴ βασιλεὺς ᾔσθετο, ἔς τε Θρᾴκην ὅλην
V 233 καὶ Ἰλλυριοὺς στείλας ἄρχουσί τε πᾶσι καὶ στρατιώταις ἐπέστελλε τοῖς δραπέταις τούτοις σθένει παντὶ ὑπαντιάσαι. καὶ πρῶτα μὲν Οὔννων τῶν Κουτριγούρων καλουμένων ὀλίγοι τινὲς (οἳ δὴ ἐξ ἠθῶν τῶν πατρίων ἐξαναστάντες, ἧπέρ μοι οὐ πολλῷ ἔμπροσθεν δεδιήγηται, δόντος 10
B 604 βασιλέως ἐπὶ τῆς Θρᾴκης ἱδρύσαντο) τοῖς φεύγουσι τούτοις ἐς χεῖρας ἦλθον. ἡσσηθέντες δὲ μάχῃ τινὲς μὲν πίπτουσιν, οἱ δὲ λοιποὶ τραπόμενοι οὐκέτι ἐδίωκον, ἀλλ' αὐτοῦ ἔμενον. οὕτω τε Θρᾴκην ὅλην διεληλύθασιν Ἰλδιγισὰλ τε καὶ Γόαρ ξὺν τοῖς ἑπομένοις, οὐδενὸς ἐνο-

1-2. ἐσβυζαντίου *(sic)* *WL* βιζαντίου *v* 2. ἀπαλαγ. *Wv* 3. τισὶ *D* δρακῶν *D* 4. λογγοβ. *D* λαγγοβάρδας *v* 6. βασιλὲς *v* 7. ἰλλυρικοὺς *WvL* 8. δαπέταις *D* οὖν *per* Οὔννων *Wvf (marg.), Reg.* 9. Κουτριγούρων] *f (marg.), Reg.* κουτουργάρων *W* κουτουργούρων *gli altri codd. e le edd.* 12. πίπτουσι *W* ἐπίπτουσιν *f* (ε *canc.)* λοιποὶ δὲ *WvL* 14. ἰνδιγισὰλ *MCWfL, H* τε *soprascr. di m. rec. W*

mente attorno con consigli, gli suggerì di darsi alla fuga, promettendo che con lui egli pure avrebbe lasciato Bizanzio. E messisi d' accordo, improvvisamente con pochi uomini sen fuggirono. Giunti quindi alla città di Apri, in Tracia, si unirono coi Longobardi, ed incontratisi nelle razze dei cavalli imperiali, e menatasi via gran quantità di questi, procedettero oltre. Informato di ciò, l' imperatore spedì messi per tutta la Tracia e l' Illirico con ordine per tutti i duci e soldati di rincorrere con ogni potere questi fuggiaschi. E per primi vennero con essi alle mani alcuni pochi degli Unni chiamati Kutriguri, che, siccome io già testè narrai, lasciate le patrie sedi eransi per concessione dell' imperatore stabiliti nella Tracia; ma furon vinti, e quali di essi rimaser morti, quali respinti fermaronsi là, trattenendosi dal più inseguire; e così Ildigisalo e Goar coi loro invasero tutta la Tracia senza che

χλοῦντος. ἐν Ἰλλυριοῖς δὲ γενόμενοι Ῥωμαίων στρατὸν εὗρον ἐπὶ τῷ
σφῶν πονήρῳ ξὺν ἐπιμελείᾳ ξυνειλεγμένον. τοῦ δὲ στρατοῦ τούτου ἄλλοι
τέ τινες καὶ Ἀράτιός τε καὶ Ῥεκίθαγγος καὶ Λεωνιανὸς καὶ Ἀριμοὺθ
ἦρχον, οἳ δὴ ἐτύγχανον τὴν ἡμέραν ἱππεύσαντες ὅλην. ἔς τε χῶρον
5 ὑλώδη ἀφικόμενοι περὶ λύχνων ἀφὰς ἔστησαν, ὡς αὐλισόμενοί τε καὶ
διανυκτερεύσοντες ἐνταῦθα τὴν νύκτα ἐκείνην. τοῖς μὲν οὖν στρατιώ-
ταις ἐπέστελλον οἱ ἄρχοντες οὗτοι τά τε ἄλλα καὶ ἵππων τῶν σφετέρων H 361
ἐπιμελεῖσθαι καὶ παρὰ τὸν ταύτῃ ῥέοντα ποταμὸν αὐτοὺς ἀναψύχειν,
παρηγοροῦντας τὸν τῆς ὁδοῦ κόπον. αὐτοί τε κατὰ τρεῖς ἢ τέτταρας
10 ἕκαστος δορυφόρους ἐπαγόμενοι ἀποκεκρυμμένως τοῦ ποταμοῦ ἔπινον·
δίψει γάρ, ὡς τὸ εἰκός, χαλεπῇ εἴχοντο. οἱ δὲ ἀμφὶ Γόαρ καὶ Ἰλδι-
γισὰλ ἀγχοῦ που ὄντες καὶ σκοποὺς πέμψαντες ταῦτα ἔγνωσαν. ἀπροσ-
δόκητοί τε πίνουσιν αὐτοῖς ἐπιστάντες ἅπαντας ἔκτειναν, καὶ τὸ λοιπὸν
ἀδεέστερον σφίσιν αὐτοῖς τὰ ἐς τὴν πορείαν ἧπερ ἐβούλοντο διῳκήσαντο.

1. ἰλλυριῶν *Wv* ἰλλυριῷ *f (marg.), Reg.* 2. πονήρῳ] *i codd., HP* πο-
νηρῷ *B* ξυνειλαιγμένον *W* τοῦ δὲ τοῦ *MCDm* 3. ῥικίσαγγος *Wf (marg.) L*
λιωνιανὸς *WfL* ἀρισμοὺσ *L* 5. ἀφικόμενον *Wv* λύχνον *W (corr.) v* ἔστυ-
σαν *W (corr.) v; om. D* 6. διανυκτερεύσαντες *D* 8. περὶ *Wvf (marg.), Reg.*
ταῦτα *D* αὐτοὺς] *le edd.* αὐτοὺς *MCDmf (corr.)* αὐτοῦ *Wvf (marg.) L*
9. τέταρας *Wv* 11. χαλεπεῖ *W* γίαρ *W* 11-12. ἰνδιγισὰλ *MCm* ἰλδιγὰλ *D*
ἰλδιγίσκλον *W* ἰνδιγίσκλον *f (marg.), H (id.)* ἰνδίγισκλον *L* 12-13. ἀπροσ-
δόκιτοί *W* 14. εἴπερ *Wv; om. L (in marg.* ἧ*)* διωκίσαντο *W*

alcuno li molestasse. Giunti nell' Illirico incontraronsi nell' eser-
cito romano che trovavasi per sua malora diligentemente rac-
colto. A capo di esso stavano Aratio, Recitango, Leoniano,
Arimuth ed altri. Aveano costoro cavalcato tutto il giorno e
giunti presso sera in un luogo selvoso, fecero alto per bivaccare
e pernottare colà. Quei duci adunque ordinarono ai soldati di
prender cura dei cavalli e di ogni altra cosa e di rinfrescarsi poi
nel fiume che ivi scorreva per riaversi della stanchezza del viag-
gio; ed essi stessi, menando seco ciascuno tre o quattro lance
spezzate, in luogo riposto, bevevano l' acqua del fiume, poichè,
com' è naturale, eran molto assetati. Goar e Ildigisalo, che tro-
vavansi prossimi e avean mandati esploratori, furon di ciò infor-
mati e improvvisamente, piombati addosso a quelli che bevevano,
tutti li uccisero; dopo di che si aprirono a lor talento la via per

ἄναρχοι γὰρ οἱ στρατιῶται γενόμενοι διηποροῦντό τε καὶ παντάπασιν ἀμηχανοῦντες ὀπίσω ἀπήλαυνον. Γόαρ μὲν οὖν καὶ Ἰλδιγισὰλ οὕτω διαφυγόντες ἐς Γήπαιδας ἦλθον.

B 605 Ἐτύγχανε δὲ καί τις ἐκ Γηπαίδων, Οὐστρίγοτθος ὄνομα, ἐς Λαγγοβάρδας φυγὼν τρόπῳ τοιῷδε. Οὐελεμοῦντος μὲν ὁ Γηπαίδων γεγονὼς 5 βασιλεὺς οὐ πολλῷ ἔμπροσθεν ἐξ ἀνθρώπων ἠφάνιστο νόσῳ, τούτου δή οἱ μόνου τοῦ Οὐστριγότθου ἀπολελειμμένου παιδὸς, ὅνπερ ὁ Θορισὶν βιασάμενος (μειράκιον γὰρ ἦν ἔτι) τὴν ἀρχὴν ἔσχε. διὸ δὴ ὁ παῖς οὐκ ἔχων τὸν ἠδικηκότα καθ' ὅ τι ἀμύνηται, ἐξ ἠθῶν ἀναστὰς τῶν πατρίων ἐς Λαγγοβάρδας Γήπαισι πολεμίους ὄντας ἀπιὼν ᾤχετο. ἐγέ- 10 νοντο δὲ Γήπαισιν ὀλίγῳ ὕστερον πρός τε βασιλέα Ἰουστινιανὸν καὶ τὸ P 645 Λαγγοβαρδῶν ἔθνος διαλλαγαὶ, ὁρκίοις τε ἀλλήλους δεινοτάτοις κατέλαβον ἦ μὴν τὸ λοιπὸν φιλίαν τὴν ἐς ἀλλήλους ἀπέραντον διασώσασθαι. ἐπειδή τε αὐτοῖς τὰ ἐς τὰς διαλλαγὰς βεβαιότατα ξυνετελέσθη,

2. κὲ *v* ἰνδιγισὰλ *MCmfL, H(marg.)* 4. οὐστρίγοθος *D* 4-5. λαγγοβάδας *M(corr.)* λογγοβ. *D* 5. Οὐελεμοῦντος] *CL, H* οὐέλεμοῦντος *MD Wvmf* ἐλεμοῦνδος (δ *in rasura*) *f(marg.), PB* 6. βασιλὲς *v* τόσω *M* τούτων *Wf(marg.) L* 7. οὐστριγότθοι *D* 8. γὰρ *om. MCDmf (agg. in marg.)* ἔσχεν *D* 9. ἀναστᾶν *W* 10. λογγοβ. *D* 11. ὀλίγων *D* βασιλεῖ *Wvf(marg.), Reg.* 11-12. ἰουστινιανῷ καὶ τῷ λαγγουβαρδῶν ἔθνει *Wf(marg.), Reg.* 12. λογγοβαρδῶν *D* ὁρκίαν *Wv* ἀλλήλοις *MCWvmf* δυνοτάτοις *M* δηνωτάτοις *D* 13. ἡ *W* 14. ἀλλαγὰς *D* διαλαγὰς *v*

dovunque volessero, imperocchè i soldati rimasti privi di capi, imbarazzati e non sapendo che farsi, tornarono indietro. E così scampati Goar e Ildigisalo giunsero presso i Gepidi.

Anche un Gepido di nome Ustrigoto erasi allora rifugiato presso i Longobardi; ed ecco com' era seguita la cosa. Velemunto, re dei Gepidi, era morto poco prima di malattia ed avea lasciato un sol figlio, che era questo Ustrigoto; al quale Thorisino, violentemente, poichè era tuttavia giovinetto, tolse il regno. Quindi quel fanciullo, non avendo modo di vendicare il torto fattogli, abbandonò la patria e si ridusse fra i Longobardi, nemici dei Gepidi. Poco dopo i Gepidi conchiusero la pace con l' imperatore Giustiniano e coi Longobardi, stringendo, con solenni giuramenti, perpetua amicizia con ambedue. Assicurata che fu

βασιλεύς τε Ἰουστινιανὸς καὶ Αὐδουὶν ὁ τῶν Λαγγοβαρδῶν ἡγούμενος
παρὰ Θορισὶν τὸν Γηπαίδων ἄρχοντα πέμψαντες τὸν Ἰλδιγισὰλ, ἅτε κοι-
νὸν ἐχθρὸν, ἐξῃτοῦντο, τὴν ἐς τὸν ἱκέτην τὸν αὐτοῦ προδοσίαν δεόμενοι
δήλωσιν τῆς ἐς αὐτοὺς φιλίας ποιήσασθαι πρώτην. καὶ ὃς τοῖς Γηπαίδων
5 λογίμοις ἐπικοινωσάμενος τὰ παρόντα σπουδῇ ἀνεπυνθάνετο εἰ ποιητέα
οἱ τὰ πρὸς τοῖν βασιλέοιν αἰτούμενα εἴη. οἱ δὲ ἄντικρυς μὴ ποιήσειν
ἀπεῖπον, κρεῖσσον ἀπισχυρισάμενοι εἶναι Γηπαίδων τῷ ἔθνει αὐταῖς τε
γυναιξὶ καὶ γόνῳ παντὶ διολωλέναι αὐτίκα δὴ μάλα ἢ ἀνοσίοις ἐπ' ἀσεβή-
ματι γενέσθαι τοιούτῳ. ταῦτα ἀκούσας ὁ Θορισὶν ἐς ἀμηχανίαν ἐξέπιπτεν. B 606
10 οὔτε γὰρ ἀκουσίων τῶν ἀρχομένων ἐπιτελέσαι τὸ ἔργον εἶχεν οὔτε ἀνα-
κυκλεῖν πόλεμον, πόνῳ τε καὶ χρόνῳ πεπαυμένον πολλῷ, πρός τε Ῥω-
μαίους καὶ Λαγγοβάρδας ἔτι ἤθελεν. ὕστερον μέντοι ἐπενόει τάδε.
πέμψας παρὰ τὸν Αὐδουὶν ἐξῃτεῖτο τὸν Οὐελεμούντου υἱὸν Οὐστρίγοτθον,

1. βασιλὲς *v* δὲ *per* τε *Wv (corr.) L (in marg.* δὴ) αὐδουνὶ *Wv* λογ-
γοβ. *D* 2. περι *W* περὶ *v* ϑορησὶν *Mmf* ϑουρησὶν *D* ϑορισὴς *W* ϑορι-
σὴν *v* ἰνδιγισὰλ *MCDv* ἰηδιγησὰλ *WL* 3. ἐξηγοῦντο *f (corr. in marg.)*
4. δήλωσιν *ripete W* τὴν *Wv* τῆς ἑαυτοὺς *D* 5. ἐπικοινωσάμενος] *Wv*
f (marg.), Reg. κοινολογησάμενος *gli altri codd. e le edd.* 6. αἰτούμενοι οἴη *W*
8. ἀνοδίοις *D (corr.)* ἀνοσίαν *Wv* 8-9. ἀσεβήμασι *D (corr.)* 9. ϑορισὴν
MDWvmf ἐξέπιπτον *Wv* 10. ἀκουσίως *MCDWvmfL* 12. λογγοβ. *D*
τιάδε *W* τοιάδε *vf (marg.), Reg.* 13. ἐξηγεῖτο *D* τὸν *om. D* Οὐελε-
μούντου] ἐλεμοῦντο (δου sopra) *D* ἐλεμούνδου *gli altri codd. e le edd.* οὐστρίγοτϑοι *D*

fermamente la pace fra di loro, l' imperatore Giustiniano ed Au-
duino, re dei Longobardi, spediron messi presso Thorisino duce
dei Gepidi a reclamare Ildigisalo qual comune nemico, richieden-
dogli come primo segno dell' amicizia verso di loro la consegna di
quel suo supplichevole. E colui comunicata la cosa ai maggiorenti
dei Gepidi a loro seriamente volse dimanda, se quel che i due so-
vrani richiedevano fosse da farsi. Coloro recisamente negarono
che ciò si facesse, sostenendo che per la nazione dei Gepidi meglio
sarebbe tosto perire colle donne e la prole tutta, anzichè macchiarsi
di tanto sacrilega iniquità. Udito ciò Thorisino venne in grande
perplessità, poichè nè voleva egli eseguir la cosa contro la vo-
lontà dei sudditi, nè ridestare coi Romani e coi Longobardi una
guerra che dopo lungo tempo e travaglio erasi sedata. In ultimo
ricorse a tal ripiego. Spedì messi presso Auduino a reclamare

ἐπὶ τὴν ὁμοίαν αὐτῷ ἁμαρτάδα ὁρμῶν, τῶν τε ἱκετῶν ἀνταλλάσσεσθαι
τὴν προδοσίαν παρακαλῶν. τῇ γὰρ τῆς ἐμφεροῦς ἀτοπίας ὀκνήσει τὴν
ἐπίταξιν αὐτῶν ἀναχαιτίσειν εἶχεν, ἀλλ' Αὐδουὶν αὐτὸν μηδεμιᾷ μελλήσει
τῇ παρανομίᾳ καὶ ὁμολογίᾳ λήψεσθαι. τούτων τε αὐτοῖς δεδογμένων
V 234 ἐξεπιστάμενοι ὡς οὔτε Λαγγοβάρδαι οὔτε Γήπαιδες ἐθέλουσι τοῦ 5
μιάσματος μεταλαχεῖν σφίσιν, ἐς μὲν τὸ ἐμφανὲς οὐδὲν ἔδρασαν, ἑκάτερος
δὲ δόλῳ τὸν θατέρου ἐχθρὸν ἔκτεινεν. ὅντινα μέντοι τρόπον, ἀφίημι
λέγειν. οὐ γὰρ ὁμολογοῦσιν ἀλλήλοις οἱ ἀμφ' αὐτὸν λόγοι, ἀλλὰ κατὰ
πολὺ διαλλάσσουσιν οἷά γε τῶν πραγμάτων τὰ λαθραιότατα. τὰ μὲν
οὖν κατὰ Ἰλδιγισὰλ καὶ Οὐστρίγοτθον ἐς τοῦτο ἐτελεύτα. 10

1. τε *om. L* ἱκετῶν ἀνταλλάσσεσθαι] *PB* οἰκετῶν ἀπαλλάσσεσθαι *i codd. (L om.* ἱκετῶν; ἀπαλλάσασθαι *v), H* 2. ἐμφερῆ *W* 3. ἀναχαιτήσειν *CWv* μελήσει *MCDW (corr.) vmf (corr.)* 4. δὲ *per* τε *f (marg.), H* 5. ἐξεπιστάμενος *Wvf (marg.) L* οὔτε] *B* δὲ *MCDmf (corr.)* οὐδὲ *Wv, HP* λογγοβ. *D* οὔτε] *B* οὐδὲ *i codd., HP* 6. φησὶν *MCmfL (corr. in marg.)* φησὶ *DWv* « σφίσι *I. Sc.* » *f (marg.)* μὲν] *le edd.* μὲν οὖν *i codd.* 7. θατέρου *om. W* ἔκτειναν *D (corr.)* 8. ἀλλήλων *Wvf (marg.), Reg.* οἱ *om. D* αὐτὸν] *f (marg.) L* αὐτῶν *gli altri codd. e le edd.* 9. διαλάσσουσιν *D* τε *per* γε *W* 10. ἰνδιγισὰλ *MC* ἰλδιγιγὰλ *(sic) f (marg.), H (id.)* ἰδιγισὰλ *L* ὀστρίγοτθον *Wv*

il figlio di Velemunto, Ustrigoto, spingendo colui alla stessa mancanza e proponendogli di scambiarsi così fra loro la consegna dei rifugiati supplichevoli; poichè l' esitar che coloro farebbero ad eseguire una consimile indegnità, dava modo a lui di deludere la loro richiesta, cogliendo però in pari tempo Auduino stesso colla iniqua convenzione. Dietro tali risoluzioni, ben sapendo che nè i Longobardi nè i Gepidi vorrebbero partecipare al loro sacrilegio, apertamente non fecero nulla, ma ciascun di loro dolosamente uccise il nemico dell' altro. In qual modo ciò facessero tralascio di dire, poichè le voci che corrono intorno a questo non sono concordi, ma molto differenti, come suole trattandosi di fatti assai nascosti. E tale fu la fine di Ildigisalo e di Ustrigoto.

κη'. Τοῖς δὲ ἀμφὶ Ναρσῆν ἀφικομένοις ἐς Ῥάβενναν πόλιν ἀνεμίγνυντο Βαλεριανὸς καὶ Ἰουστῖνος οἱ στρατηγοί, καὶ εἴ τι ἄλλο στράτευμα Ῥωμαίων ταύτῃ ἐλέλειπτο. ἐπειδὴ δὲ αὐτοῖς ἐννέα ἡμερῶν χρόνος ἐς Ῥάβενναν ἐτέτριπτο, Οὐσδρίλας, Γότθος ἀνήρ, διαφερόντως ἀγαθὸς τὰ πολέμια, τοῦ ἐν Ἀριμίνῳ φυλακτηρίου ἄρχων, πρὸς Βαλεριανὸν ἔγραφε τάδε «Πάντα ταῖς φήμαις καταλαβόντες, τοῖς τε φάσμασιν ἤδη ξύμ-
«πασαν Ἰταλίαν συσχόντες καὶ ὀφρυάσαντες οὐχ ὅσα γε τὰ ἀνθρώπεια,
«ταύτῃ τε Γότθους, ὥσπερ οἴεσθε, δειδιξάμενοι, εἶτα κάθησθε νῦν ἐν
«Ῥαβέννῃ· ὥστε τῷ μὲν ἀποκεκρύφθαι ὡς ἥκιστα τοῖς πολεμίοις ἔν-
«δηλοι εἶναι ξυμφοροῦντες ἔτι τὸ φρόνημα τοῦτο, βαρβάρων δὲ παμμίκτῳ
«ὁμίλῳ τὴν οὐδαμόθεν προσήκουσαν ὑμῖν κατατρίβοντες χώραν. ἀλλ'
«ἀνάστητε ὅτι τάχιστα καὶ πολεμίων ἔργων τὸ λοιπὸν ἅπτεσθε, δείξατέ
«τε ὑμᾶς αὐτοὺς Γότθοις, μηδὲ ἀναρτήσητε μακροτέραις ἐλπίσιν ἡμᾶς,

B 607 — P 646

1. ῥάβεναν *Wv* 2. ἄλλον *D* ἄλλω *W* 3-4. *Le parole* ἐπειδὴ – ἐτέτριπτο *om. D* 4. ῥάβεναν *W* ἐτέτριπτω *W (corr.)* οὐδρίλας γότθως *v* διαφερόντος *Wv* 5. Ἀριμίνῳ] *W* ἀριθμήνῳ *D* ἀριμήνῳ *gli altri codd. e le edd.* 7. ὀφρυάξαντες *f (marg.), Reg.* οὔχουσα τὰ *(om.* γε*) W* 8. δεδιξάμενοι *MCD Wvmf (corr.)* κάθιστε *D* κάθεστε *W (corr.)* 9. ῥαβὲν *(sic) W* ὥστε] *PB; om. i codd., H* τὸ *Wf (marg.) L* ὥστε *per* ὡς *Scalig.* ὧς κιστα *(sic) D* 9-10. ἔνδηλοι] *Scalig., PB* ἔνδηλον *i codd., H* 10. ξυμφοροῦντες] *f (marg.), Reg.* ξυμφωροῦντες *D* ξυμφρουροῦντες *gli altri codd. e le edd.* 12. ἄπτεσθαι *(sic) Wv (corr.)* 13. τε *om. MCDmf (agg. in marg.)* τοὺς *per* αὐτοὺς *W*

XXVIII. All' esercito che con Narsete era giunto a Ravenna vennero ad unirsi i capitani Valeriano e Giustino e quante altre truppe romane eran colà rimaste. Da nove giorni stavano in quella città quando Usdrila, Goto molto illustre in guerra che comandava il presidio di Rimini, scrisse a Valeriano nei termini seguenti: «Dopo tanto chiasso fatto per ogni dove e dopo aver
«riempita tutta l' Italia di grandi spauracchi e con cipiglio sovru-
«mano aver, come voi pensate, atterrito i Goti, ora ve ne state
«quatti in Ravenna, talchè così nascondendovi fate sentire ai ne-
«mici esser già venuta meno la vostra presunzione; e con una
«miscela d' ogni sorta di barbari state logorando un paese che
«a voi non ispetta in alcuna maniera. Orsù via, levatevi e
«mettetevi alla guerra. Mostratevi ai Goti e non defraudate più
«lungamente la già vecchia aspettazione nostra di vedervi un

« προσδεχομένους ἐκ παλαιοῦ τὸ θέαμα ». ἡ μὲν γραφὴ τοσαῦτα ἐδήλου.
H 365 ἐπειδὴ δὲ ταῦτα Ναρσῆς ἀπενεχθέντα εἶδε, Γότθων τῆς ἀλαζονείας
καταγελάσας, καθίστατο εὐθὺς παντὶ τῷ στρατῷ ἐς τὴν ἔξοδον, φρουρὰν
ξὺν Ἰουστίνῳ ἐν Ῥαβέννῃ ἀπολιπών. γενόμενοί τε πόλεως Ἀριμίνου
ἄγχιστα, εὗρον οὐκ εὐπετῆ σφίσι τὸ ἐνθένδε τὴν δίοδον οὖσαν, Γότθων 5
περιῃρηκότων τὴν ἐκείνῃ γέφυραν οὐ πολλῷ πρότερον. ὁ γὰρ ποταμὸς
ὁ τὴν Ἀρίμινον παραρρέων ἀνδρὶ μὲν ἀόπλῳ ἑνὶ πεζῇ ἰόντι μόλις δια-
βατὸς γίνεται διὰ τῆς γεφύρας πόνῳ τε καὶ ταλαιπωρίᾳ πολλῇ, καὶ
ταῦτα μηδενὸς ἐνοχλοῦντος ἢ τὴν δίοδον ἀναστέλλοντος· πλήθει δὲ
ἀνθρώπων καὶ διαφερόντως ἐξωπλισμένων, ἄλλως τε καὶ πολεμίων 10
B 608 ἀντιστατούντων, τρόπῳ ὁτῳοῦν ἐνταῦθα διαπορθμεύσασθαι ἀδύνατά ἐστι.
διόπερ ὁ Ναρσῆς ἐν τῷ γεφύρας χώρῳ γενόμενος ξὺν ὀλίγοις τισὶν
ἀπορούμενος ἐπὶ πλεῖστον διεσκοπεῖτο ὁπόθεν ἂν ποτε πόρον τινὰ τῷ
πράγματι εὕροι. οὗ δὴ καὶ Οὐσδρίλας τινὰς ἐπαγαγόμενος ἱππέων ἦλθε,

2. ἐπεὶ δὲ *Wf (marg.), H (id.)* ἀλαζωνίας *D* 3. γελάσας *MDWvm f (corr.) L (id.), H* 4. ἰουστίνω *corr. da* -ινιανῶ *v* ἀπολοιπῶν *corr. da* -λοιπὸν *W* ἀπολοιπὸν *v* Ἀριμίνου] *W (corr.* ἀριμήνου*)* ἀριμήνου *gli altri codd. e le edd.* 5. σφέσι *(sic)* τὸ ἐνθέδε *W* 6. περιηρικότων *W* ἐκείνην *D* 7. Ἀρίμινον] ἀρίμηνον *i codd. e le edd.* παραρέων *Wv* πεζῷ *Wf (marg.), Reg.* 8. γέφυρας *v* ταλαιπορία *D* 9. πλήθη *W* 10. ἀνδρῶν *Wf (marg.), Reg.* διαφερόντος *Wv* 11. ἐνστρατιγούντων *Wv* ἐνστρατηγούντων *f (marg.), Reg.* ὁτωνοῦν *Wv* ἐστὶν *Wv* 13-14. *Le parole* διεσκοπεῖτο – πράγματι *om. D* 14. οὐδρίλας *f (marg.) L* ἐπαγ[γό]μένος *(γό soprascr. di m. rec.) C* ἐπαγόμενος *WL*

« giorno in faccia ». Tanto diceva la lettera. Letta che l' ebbe Narsete, rise dell' arroganza dei Goti e subito con tutto l' esercito mosse alla sortita, lasciando a Ravenna un presidio con Giustino a capo. Giunti che furono presso Rimini trovarono difficile il passaggio, avendo i Goti poco prima attorniato il ponte che colà trovasi. Poichè il fiume che corre presso Rimini appena può esser passato pel ponte da un uomo inerme ed a piedi, e ciò con molto stento quand' anche niuno gli si opponga o gli precluda il passaggio; ad una massa di uomini però, specie se bene armati e più ancora mentre stan loro di contro i nemici, è affatto impossibile passare. Quindi Narsete recatosi con alcuni pochi sul posto presso al ponte, imbarazzato andava a lungo osservando per trovare una uscita alla difficoltà. Anche Usdrila, menando seco al-

μή τι τῶν πρασσομένων αὐτὸν διαλάθοι. τῶν δέ τις Ναρσῇ ἐπισπομένων τὸ τόξον ἐντείνας ἐπ' αὐτοὺς ἔβαλλεν, ἑνί τε τῶν ἵππων κατατυχὼν εὐθὺς ἔκτεινεν. οἵ τε ἀμφὶ τὸν Οὐσδρίλαν τότε μὲν ἐνθένδε κατὰ τάχος ἀπαλλαγέντες ἐντὸς τοῦ περιβόλου ἐγένοντο, αὐτίκα δὲ καὶ
5 ἄλλους ἐπαγαγόμενοι τῶν σφίσι μαχιμωτάτων διὰ πύλης ἑτέρας ἐπ' αὐτοὺς ἵεντο, ὡς ἀπροσδόκητοί τε αὐτοῖς ἐπιπεσόντες καὶ τὸν Ναρσῆν διαχρησόμενοι αὐτίκα δὴ μάλα. ἐπὶ θάτερα γὰρ τοῦ ποταμοῦ διερευνώμενος τῇ στρατιᾷ τὴν διάβασιν ἤδη ἀφῖκτο. ἀλλὰ τῶν τινες Ἐρούλων τύχῃ αὐτοῖς τινι ἐνταῦθα ὑπαντιάσαντες κτείνουσί τε τὸν Οὐσδρίλαν,
10 καὶ ὅστις ποτὲ ἦν ἐπιγνωσθέντα παρὰ Ῥωμαίου ἀνδρὸς τὴν κεφαλὴν ἀφαιρούμενοι, ἐς τὸ Ῥωμαίων στρατόπεδον ἦλθον, καὶ Ναρσῇ ἐπιδείξαντες τῇ προθυμίᾳ ἐπέρρωσαν πάντας, τεκμηριουμένους τῷ ξυμβεβηκότι τὰ ἐκ τοῦ θεοῦ Γότθοις πολέμια εἶναι· οἵ γε τῶν πολεμίων τῷ στρατηγῷ ἐνεδρεύσαντες αὐτοὶ οὐκ ἐξ ἐπιβουλῆς ἢ προνοίας τινὸς τὸν

1. τοι *per* τι *Wv* αὐτῷ *WL* 1-2. *Dopo* ἐπισπομένων *D ripete le parole* αὐτὸν *(r. 1)* - Ναρσῇ 2. τὸ *om. D* ἐκτίνας *W* 3. εὐθὺ *f (corr. in marg.), H (id.)* οὐσδρίλα *D* οὐσδρίλλαν *f (marg.) L* 5. ἐπαγγελλόμενοι *D* ἐπαγόμενοι *WL* μαχιμοτάτων *W* 6. ἴεντο *MCDvmf, HP* 8. ἀφίκτο *mf* ἐρούλλων *MDWvmf* 9. αὐτοῖς] *PB* αὐτοὺς *i codd., H (corr. in marg.)* τινὶ *MCDWvmf* οὐσδρίλα *D* 10. ὡς τοίποτε *W* ὡς τίποτε *v (corr.* τίσποτε *di m. rec.)* ἦν *Wv* περὶ *WvL (corr.)* 11. εἰς *WvL* τὸν *(sic) Wv* 14. ἐπηβουλῆς *W*

cuni cavalieri, si recò colà per nulla ignorare di quello che si faceva. Allora uno del seguito di Narsete, teso l'arco, tirò contro coloro e colto un cavallo lo stese morto. Usdrila coi suoi, ritiratisi prestamente di là, si ridusser dentro la cinta e presi secoloro altri uomini de' più valorosi, da un' altra porta si fecer sopra ai Romani per coglierli all' improvviso ed uccider Narsete alla prima; poichè questi erasi già recato dall' altra parte del fiume a cercarvi un qualche passaggio per l' esercito. Se non che alcuni Eruli per caso scontratisi ivi con coloro uccisero Usdrila, e riconosciuto per tale da un Romano, mozzarongli il capo, e tornati al campo romano lo mostrarono a Narsete, facendo così animo a tutti quanti, chè dal fatto traevano augurio, argomentandone essere Iddio avverso ai Goti; poichè mentre questi insidiavano il capitano dei nemici, essi stessi il proprio

ἄρχοντα σφῶν ἐξαπιναίως ἀφῄρηντο. Ναρσῆς δὲ, καίπερ Οὐσδρίλα πεπτωκότος, ὃς τοῦ ἐν Ἀριμίνῳ φυλακτηρίου ἦρχε, πρόσω ἤπειγε τὸ
P 647 B 609 στράτευμα. οὐδὲ γὰρ Ἀρίμινον ἢ ἄλλο τι χωρίον πρὸς τῶν πολεμίων
V 235 ἐχόμενον ἐνοχλεῖν ἤθελεν, ὡς μή τις αὐτῷ τρίβοιτο χρόνος, μηδὲ τῷ παρέργῳ τῆς χρείας ἡ σπουδαιοτάτη διείργοιτο πρᾶξις. τῶν δὲ πολε- 5 μίων, ἅτε πεπτωκότος σφίσι τοῦ ἄρχοντος, ἡσυχαζόντων τε καὶ οὐκέτι ἐμποδίων καθισταμένων ὁ Ναρσῆς ἀδεέστερον γεφύρᾳ τὸν ποταμὸν ζεύξας διεβίβασε πόνῳ οὐδενὶ τὸν στρατὸν ἅπαντα. ὁδοῦ δὲ τῆς Φλαμηνίας ἐνθένδε ἀφέμενος ἐν ἀριστερᾷ ᾔει. Πέτρας γὰρ τῆς Περτούσης καλουμένης, ἥσπέρ μοι ἐν τοῖς ἔμπροσθεν δεδιήγηται λόγοις τὸ τοῦ ὀχυρώ- 10 ματος καρτερὸν χωρίου φύσει, κατειλημμένου τοῖς ἐναντίοις πολλῷ πρότερον, ἀπόρευτα Ῥωμαίοις καὶ παντάπασιν ἀδιέξοδα, ὅσα γε κατὰ

2. πεπτωκότως *W (corr.)* Ἀριμίνῳ] ἀριμήνῳ *i codd. e le edd.* ἤπειγε *W* ἠγείγετο *L* 3. Ἀρίμινον] ἀρίμηνον *i codd. e le edd.* οὐδὲ *per* ἢ *Wv* 3-4. *Le parole* ἢ ἄλλο - ἐχόμενον *om. D* 3. τὸν *(sic) Wv* 4. τρίβοιντο *v (corr.)* 5. διείργοιντο *W (corr. da* διείργοιτο*) v* 6. πεπτοκότος *Wv* 7. γαιφύρα *v (corr.)* 9. ἐνθένδε *om. D* 10. ἥσπέρ] *i codd.* ἧς πέρι *le edd. Le parole* ἐν τοῖς - λόγοις *om. L; negli altri codd. sono scritte dopo* φύσει *(r. 11).* 10-11. ὀχυρόματος *Wv* 11. χωρίου] *MCDvmf* χωρίον *Wf (di sec. m.), le edd.* 11-12. *Le parole* χωρίου - πρότερον *om. L* 11. κατειλημμένου] *i codd.* κατειλημμένον *f (di sec. m.), le edd.* 12. « λείπει ἴσ. τε » *(cioè dopo* ἀπόρευτα*) f (marg.)* γε *om. MCDmf (agg. in marg.)*

duce di repente perdettero senza che vi fosse agguato o premeditazione alcuna. Narsete però, quantunque fosse spento Usdrila capo del presidio di Rimini, spinse innanzi l'esercito, poichè non era suo pensiero di attaccare Rimini nè altra località tenuta dai nemici, per non perder tempo colà nè per cosa secondaria trasandare l'opera più urgente ed importante. E poichè i nemici, morto il loro duce, tenevansi quieti e non faceangli più impedimenti, Narsete, liberamente gittato un ponte sul fiume, senza difficoltà fece passar tutto l'esercito. Lasciata quindi la via Flaminia volse a sinistra, poichè essendo Pietra Pertusa, del cui castello già descrissi nei libri antecedenti la fortissima natural condizione, occupata già assai prima dai nemici, tutta la via Flaminia era pei Romani ivi affatto impratticabile. Quindi Narsete,

τὴν Φλαμηνίαν ὁδὸν, ὄντα ἐτύγχανεν. ὁδὸν οὖν ὁ Ναρσῆς διὰ ταῦτα τὴν ἐπιτομωτέραν ἀφεὶς τὴν βάσιμον ᾔει.

κθ'. Τῷ μὲν οὖν Ῥωμαίων στρατῷ τά γε ἀμφὶ τῇ πορείᾳ ταύτῃ πῃ εἶχε. Τωτίλας δὲ πεπυσμένος ἤδη τὰ ἐν Βενετίαις ξυνενεχθέντα
5 Τεΐαν μὲν τὰ πρῶτα καὶ τὴν ξὺν αὐτῷ στρατιὰν προσδεχόμενος ἐν τοῖς ἐπὶ Ῥώμης χωρίοις ἡσυχῇ ἔμενεν. ἐπειδὴ δὲ παρῆσαν, μόνοι τε δισχίλιοι ἱππεῖς ἐλείποντο ἔτι, τούτους δὴ οὐκ ἀναμείνας ὁ Τωτίλας, ἀλλὰ παντὶ ἄρας τῷ ἄλλῳ στρατῷ ὡς τοῖς πολεμίοις ἐν ἐπιτηδείῳ ὑπαντιάσων ᾔει. ἐν δὲ τῇ ὁδῷ ταύτῃ τά τε τῷ Οὐσδρίλᾳ ξυμπεπτωκότα καὶ Ἀρίμινον
10 τοὺς πολεμίους διαβεβηκέναι μαθὼν, ὅλην μὲν Τουσκίαν ἀμείψας, ἐν ὄρει δὲ τῷ Ἀπεννίνῳ καλουμένῳ γενόμενος, αὐτοῦ ἐνστρατοπεδευσάμενος, ἔμεινεν ἄγχιστα κώμης, ἥνπερ οἱ ἐπιχώριοι Ταγίνας καλοῦσιν. ἥ τε Ῥωμαίων στρατιὰ Ναρσοῦ ἡγουμένου οὐ πολλῷ ὕστερον ἐν τῷ ὄρει καὶ αὐτοὶ τῷ Ἀπεννίνῳ ἐνστρατοπεδευσάμενοι ἔμενον, σταδίους B 610

1. ὤντα *M* ἰόντα *CDmf (corr. di sec. m.)* ταύτην *Wv* 2. ἐπιτομοτέραν *D* βάδιμον *D* 3. τὴν πορείαν *Wvf (marg.), Reg.* 4. τουττίλας *Wv* τουτίλλας *L* 7. τουττίλας *Wv* τουτίλας *f* τουτίλλας *L* 8. ἐπιτηδίω *W* 9. τάδε *per* τά τε *f (corr. in marg.), H (id.)* ξυμπεπτοκότα *v* Ἀρίμινον] ἀρίμηνον *i codd. e le edd.* 11. ὄρη *W (corr.)* ἀπεννίω *Wv* ἀπενίω *f* 12. ἔμενεν *C WvL* 13. οὐ *om. CWvfL* 14. ὄρη *W (corr.)* ἀπεννίω *W* ἀπεννίω *v*

abbandonata perciò la via più breve, si mise per quella che più eragli accessibile.

XXVIIII. Così procedea l' esercito romano. Totila, informato dei fatti della Venezia, dapprima sen rimase in prossimità di Roma, aspettando Teia col suo esercito. Arrivati poi che furon costoro, solo mancando duemila cavalli, senza questi aspettare, Totila mosse con tutto il rimanente esercito per prender buona posizione ad affrontare i nemici. Per quella via avendo appreso il caso di Usdrila e come i nemici avesser passato Rimini, traversata tutta la Toscana e giunto all' Appennino si accampò presso ad un villaggio che quei del paese chiaman Tagina, ed ivi si tenne. Poco dopo l' esercito romano comandato da Narsete giunse pure sull' Appennino e colà accampatosi si posò a circa cento stadi di

ἑκατὸν μάλιστα τοῦ τῶν ἐναντίων στρατοπέδου διέχοντες, ἐν χωρίῳ ὁμαλῷ μὲν λόφους δὴ ἄγχιστά πη περιβεβλημένῳ πολλούς, ἵνα δὴ στρατηγοῦντά ποτε Ῥωμαίων Κάμιλλον τῶν Γάλλων ὅμιλον διαφθεῖραι μάχῃ νενικηκότα φασί. φέρει δὲ καὶ εἰς ἐμὲ μαρτύριον τοῦ ἔργου τούτου τὴν προσηγορίαν ὁ χῶρος καὶ διασώζει τῇ μνήμῃ τῶν Γάλλων τὸ πάθος, βοῦστα 5 Γαλλώρων καλούμενος. βοῦστα γὰρ Λατῖνοι τὰ ἐκ τῆς πυρᾶς καλοῦσι λείψανα. τύμβοι τε τῇδε γεώλοφοι τῶν νεκρῶν ἐκείνων παμπληθεῖς P 648 εἰσιν. αὐτίκα δὲ στείλας ἐνθένδε Ναρσῆς τῶν οἱ ἐπιτηδείων τινὰς πα-H 366 ραίνεσιν ἐπήγγειλε ποιεῖσθαι τῷ Τωτίλᾳ καταθέσθαι μὲν τὰ πολέμια, βουλεύεσθαι δ' εἰρηναῖά ποτε, διαριθμουμένῳ ὅτι δὴ αὐτός, ἀνθρώπων 10 ἄρχων ὀλίγων τέ τινων καὶ ἐξ ὑπογυίου νόμῳ οὐδενὶ ξυνειλεγμένων, πάσῃ τῇ Ῥωμαίων ἀρχῇ ἐπὶ πλεῖστον διαμάχεσθαι οὐκ ἂν δύναιτο. ἔφη δὲ αὐτοῖς καὶ τοῦτο, ὥστε δὴ αὐτόν, εἰ πολεμησείοντα ἴδοιεν,

1. διέχοντες *om.* *f*, *HP* 2. λόφους δὴ ἄγχιστά πη] *C* ἄγχιστά πη *W* (που) *v* (*id.*) *mfL*, *H* ἄγχιστα δέ πη τάφους *f* (*marg.*) *L* (*id.*), *Scalig.*, *PB* 2-3. δὴ ποτέ στρ. *C* 2. στρατεγοῦνταί *W* 3. κάλιον *W* κάμιλον *v* κάλλιον (μι) *fL* γάλων (λ) *W* ὅμιλλον *Wvf* (*corr.*) 4. τούτου] *CWv*; *om.* *fL*, *le edd.* 5. γάλων (λ) *W* βουστα *W* 6. γαλλόρων *Wvf*, *HP* 7. τύμβοις *L* (*corr.*) δὲ *v* (*corr.*) τῇ *per* τῇδε *f* (*corr. in marg.*) *L* (*corr.* οἱ), *H* 8. στίλας *W* 9. ἐπήγγελε *CWf* ἐπήγγελλε *v* ποιῆσθαι *W* τουττίλα *CWv* τουτίλλα *fL*, *H* 10. δὲ *CWv*; *om.* *f* (δ' *in marg.*) *L* διαριθμουμένῳ] *C* διαριθμῶ *W* διαριθμ(ῶ) *v* διαριθμῶν *fL*, *H* διαριθμοῦντα *PB* 11. ἐξ *om.* *CWvf* (*agg. in marg.*) *L* (*id.*) ὑπογύου *C* ὑπογῦον *W* ὑπόγυιον *vL* (*corr. in marg.*) 12. τῇ *corr. da* τῷ *v*

distanza dal campo nemico, in un luogo piano, ma con assai poggi lì presso, ove dicono che Camillo, duce dei Romani, debellasse gran turba di Galli; ed anche fino ad oggi quella località fa col suo nome testimonianza di tal fatto, serbando memoria della strage dei Galli, poichè chiamasi « busta Gallorum »; e « busta » chiamano i Latini i residui del rogo. E colà veggonsi numerosi sepolcri di quei morti, formati con tumuli di terra. Tosto Narsete spedì alcuni suoi familiari con ordine di esortare Totila a desistere dalle ostilità e volgere il pensiero alla pace, riflettendo com' egli con pochi uomini raccogliticci al suo comando non potrebbe a lungo resistere contro tutto l' impero romano. Aggiunse anche che se vedessero esser egli voglioso di combattere, subito lo in-

μελλήσει οὐδεμιᾷ ἐγκελεύεσθαι ταύτῃ διορίσαι τινὰ ἡμέραν τῇ μάχῃ. ἐπειδὴ γοῦν οἱ πρέσβεις οὗτοι τῷ Τωτίλᾳ ἐς ὄψιν ἦλθον, τὰ ἐπιτεταγμένα ἐποίουν. καὶ ὁ μὲν νεανιευόμενος ἐκομψεύετο ὡς τρόπῳ αὐτοῖς παντὶ πολεμητέον εἴη, οἱ δὲ ὑπολαβόντες « Ἀλλ', ὦ γενναῖε » ἔφασαν « ῥητόν τινα καιρὸν τῇ ξυμβολῇ τίθει ». καὶ ὃς « Αὐτίκα ὀκτὼ ἡμερῶν « ξυμμίξωμεν ». οἱ μὲν οὖν πρέσβεις παρὰ τὸν Ναρσῆν ἐπανήκοντες τὰ ξυγκείμενα σφίσιν ἐπήγγελλον, ὁ δὲ Τωτίλαν δολώσεις ὑποτοπάζων ἐπινοεῖν παρεσκευάζετο ὡς τῇ ὑστεραίᾳ μαχούμενος. καὶ ἔτυχέ γε τῆς τῶν πολεμίων ἐννοίας. ἡμέρᾳ γὰρ τῇ ἐπιγενομένῃ αὐτάγγελος παντὶ τῷ στρατῷ παρῆν ὁ Τωτίλας. ἤδη δὲ ἀλλήλοις ἑκάτεροι ἀντεκάθηντο, οὐ πλέον ἢ δυοῖν διέχοντες τοξευμάτων βολαῖν. (B 611; righe 5, 10)

Ἦν γέ τι γεώλοφον ἐνταῦθα βραχύ, ὃ δὴ καταλαβεῖν ἀμφότεροι διὰ σπουδῆς εἶχον, ἐν ἐπιτηδείῳ σφίσιν οἰόμενοι κεῖσθαι, ὅπως τε βάλ- (V 236)

1. μελήσει *CWvf (corr.)* ταυτὴν *CWvf (corr.)* 2. τῶ τουττίλαν *(sic) W* τουττίλα *Cv* τουτίλλα *fL, H* 4. πολεμειτέον *W* ὅδε *v (corr.)* γεναῖε *W (corr.)* 5. ῥητόν] *C* γιτόν *(sic) Wv* τόν *gli altri codd. e le edd.* τιθεῖς *P* οὐ *per* ὅς *W* 6. ξυμμίξωμεν ἔφη *Wv* ὁ *(sic) W* ναρσὴν *Wv* 7. ἐπήγγελον *WvfL (corr.), H* τουττίλαν *CWv* τουτίλλαν *fL, H* ὑποτωπ. *f (corr.)* 10. τουττίλας *Cv* τουττῖλας *W* τουτίλλας *fL, H* 11. βολαῖν] *C* βολλῶν *W vf (corr.* βολῶν*)* βολῶν *L, le edd.* 12. ἦν *Wv* τοι *CWvfL, H* ἀμφότερα *f (corr.)* 13. ἐπιτηδίω *Wv* σφίσιν *soprascr. di m. rec. W*

vitassero a stabilire un giorno per la battaglia. Giunti questi messi al cospetto di Totila eseguirono gli ordini ricevuti, ma colui con puerile baldanza rispondea altieramente dover essi ad ogni modo venire a battaglia; e coloro « Ebbene, o nobil uomo », ripreser tosto, « stabilisci un tempo determinato pel conflitto ». E colui: « Scorsi otto giorni verrem tosto a battaglia ». Tornati quindi i messi presso Narsete riferirongli il convenuto. Ma questi, sospettando che Totila macchinasse fraudolenta sorpresa, si apprestava come per combattere il dì seguente. E ben colse egli giusto il pensiero dei nemici, poichè il giorno appresso senz' altro avviso Totila si presentò con tutto l' esercito; e già stavano di fronte gli uni agli altri, non più distanti di due tiri d' arco.

Trovavasi colà un piccolo tumulo che gli uni e gli altri bramavano occupare, tanto perchè pareva loro comoda posizione per

λειν τοὺς ἐναντίους ἐξ ὑπερδεξίων ἔχοιεν καὶ ὅτι χῶροι λοφώδεις, ᾗπέρ
μοι δεδήλωται, ἐνταῦθά πῃ ἦσαν, ταύτῃ τοι κυκλώσασθαί τινας τῶν
Ῥωμαίων στρατόπεδον κατὰ νώτου ἰόντας ἀμήχανον ἦν, ὅτι μὴ διὰ
μιᾶς τινος ἀτραποῦ, ἣ παρὰ τὸ γεώλοφον ἐτύγχανεν οὖσα. διὸ δὴ
περὶ πλείονος αὐτὸ ποιεῖσθαι ἀμφοτέροις ἐπάναγκες ἦν, Γότθοις μὲν, 5
ὅπως ἐν τῇ ξυμβολῇ κυκλωσάμενοι τοὺς πολεμίους ἐν ἀμφιβόλῳ ποιή-
σονται, Ῥωμαίοις δὲ, ὅπως δὴ ταῦτα μὴ πάθοιεν. ἀλλὰ προτερήσας
Ναρσῆς πεντήκοντα ἐκ καταλόγου πεζοὺς ἀπολέξας ἀωρὶ νύκτωρ ὡς
B 612 καταληψομένους τε καὶ καθέξοντας αὐτοὺς ἔστειλε. καὶ οἱ μὲν οὐδενὸς
σφίσι τῶν πολεμίων ἐμποδὼν ἱσταμένου ἐνταῦθα γενόμενοι ἡσυχῇ ἔμενον. 10
ἔστι δέ τις χειμάρρους τοῦ γεωλόφου ἐπίπροσθεν, παρὰ μὲν τὴν ἀτραπὸν,
ἧς ἄρτι ἐμνήσθην, τοῦ δὲ χώρου κατάντικρυ οὗ ἐστρατοπεδεύσαντο Γότθοι,
οὗ δὴ οἱ πεντήκοντα ἔστησαν, ἐν χρῷ μὲν ξυνιόντες ἀλλήλοις, ἐς φάλαγγα
δὲ ὡς ἐν στενοχωρίᾳ ξυντεταγμένοι. μεθ' ἡμέραν δὲ τὸ γεγονὸς ἰδὼν
Τωτίλας ἀπώσασθαι αὐτοὺς ἐν σπουδῇ εἶχεν. ἴλην τε ἱππέων εὐθὺς 15

1. ὑπερδεξίως *f (corr.)* λοφώδης *Wv (corr.)* 2. κυκλύσασθαι *v* 3. ἀμή-
χανα *C* 5. ποιῆσθαι *W* μὲν *om. HP* 6-7. ποιήσωνται *L (ω di sec. m.)*
10. ἐμποδὸν *f* 11. χειμάρους *f (corr.)* 12. ἐμνήσθη *Wf* καταντικρὺ *Wv*
οὗ *om. L* 14. μεθημέραν *Cv* 15. τουττίλας *CWv* τουτίλλας *fL, H* εἶχε *f*

tirar dall' alto contro i nemici, quanto perchè, essendo il campo
tutto cosperso di tumuli, non era possibile che colà l' esercito ro-
mano potesse esser attorniato da tergo se non per uno stretto
sentiero che trovavasi presso quel tumulo. Quindi necessaria-
mente gli uni e gli altri davano a questo molta importanza; i
Goti per circondare i nemici nel conflitto e metterli in mezzo, i
Romani per non essere a questo esposti. Narsete però, preve-
nendo i nemici, scelse cinquanta fanti di truppa regolare ed a
notte profonda li mandò perchè s' impadronissero di quel posto
e lo serbassero; e coloro senza incontrare impedimento per parte
dei nemici giunser colà e vi rimasero. Dinanzi al tumulo, presso
al sentiero testè rammentato, v' è un torrente che trovavasi ap-
punto di faccia al luogo ov' eransi accampati i Goti. Colà dun-
que tennersi fermi i cinquanta, stretti insieme e schierati in bat-
taglia, per quanto l' angustia del luogo lo permetteva. Fattosi
giorno ed accortosi di ciò, Totila cercò a tutt' uomo di scacciarli

ἐπ' αὐτοὺς ἔπεμψεν, ἐξελεῖν ὅτι τάχιστα ἐνθένδε αὐτοὺς ἐπιστείλας. οἱ
μὲν οὖν ἱππεῖς θορύβῳ τε πολλῷ καὶ κραυγῇ ἐπ' αὐτοὺς ἵεντο, ὡς αὐτοβοεὶ
ἐξαιρήσοντες, οἱ δὲ ἐς ὀλίγον ξυντεταγμένοι καὶ ταῖς μὲν ἀσπίσι φραξάμε-
νοι τὰ δὲ δοράτια ἐπανατεινάμενοι ἔστησαν. εἶτα οἱ μὲν Γότθοι σπουδῇ P 649
5 ἐπιόντες ξυνταράξαντες αὐτοὺς ἤλαυνον. οἱ δὲ πεντήκοντα, τῶν τε
ἀσπίδων τῷ ὠθισμῷ καὶ τῶν δορατίων τῇ ἐπιβολῇ πυκνοτάτῃ οὔσῃ καὶ
οὐδαμῇ ξυγκεχυμένῃ ὡς καρτερώτατα τοὺς ἐπιόντας ἠμύνοντο, ἐξεπίτηδές
τε πάταγον ταῖς ἀσπίσιν ἐποίουν, ταύτῃ μὲν τοὺς ἵππους ἀεὶ δεδισσόμενοι,
τοὺς δὲ ἄνδρας ταῖς τῶν δορατίων αἰχμαῖς. καὶ οἵ τε ἵπποι ἀνεχαιτίζοντο
10 τῇ τε δυσχωρίᾳ καὶ τῶν ἀσπίδων τῷ πατάγῳ λίαν ἀχθόμενοι καὶ διέξοδον
οὐδαμῇ ἔχοντες, οἵ τε ἄνδρες ἀπεκναίοντο, ἀνθρώποις τε οὕτω ξυμπεφραγ-
μένοις μαχόμενοι καὶ τρόπῳ οὐδενὶ εἴκουσι, καὶ ἵπποις ἐγκελευόμενοι ὡς

1. ἔπεμψε *W* ἐνθένδεν *W, HP* ἐπιστείλας] *Cv, Braun* ἀποστείλας *gli altri codd. e le edd.* 2. ἵεντο *CWf, HP* αὐτοβοὶ *W* 3. εἰς *CWv* μὲν] *CWvf; om. le edd.* 4. τὰ δὲ – ἐπανατεινάμενοι] *C; om. gli altri codd. e le edd.* 5. αὐτοὺς *CWvf* 6. πικνοτάτη *W* 7. ξυνκεχη-μένη *W* 9. ἀνεχετίζοντο *W* 11. οὐδαμῇ] *CWv* οὐκ *le edd.; om. fL* ἀπεκναίοντο] *Cv* ἀπεκνέοντο *W (corr.)* ἀπεκραύοντο *f* ἀπεκρούοντο *L, H* ἠποροῦντο *PB* 12. ἱππεῖς *f* ἐκκελευόμενοι *W, H* ἐκκλευομενοι *v* « ἐγκε-λευόμενοι *I. Sc.* » *f (marg.)*

di là. Spedì quindi subito uno squadrone di cavalleria contro di loro, con ordine di toglierli da quella posizione; e questi con grande tumulto e clamore venner loro sopra quasi potesser sbaragliarli al primo assalto; ma coloro stretti ordinatamente insieme, coprendosi cogli scudi e brandendo le lance, tenner fermo. I Goti facevano impeto frettolosamente e senza tenersi in fila. I cinquanta opponendo gli scudi e vibrando con colpi spessi e sempre ordinati le aste, respingevano gagliardamente gli assalitori, ed anche a bella posta faceano risuonare gli scudi, spaventando così i cavalli, mentre con la punta delle aste atterrivano gli uomini. I cavalli, molto inquietati dalle difficoltà del luogo e dal fragore degli scudi, non trovando passaggio, recalcitrando davano indietro ed i cavalieri erano in gran tormento, combattendo con uomini così compatti in difesa che punto non cedevano, e reggendo cavalli che non ubbidivano. Respinti quindi al primo assalto,

ἥκιστα ἐπαΐουσιν. ἀποκρουσθέντες τε τὴν πρώτην ὀπίσω ἐχώρουν. καὶ
B 613 αὖθις ἀποπειρασάμενοι καὶ ταὐτὰ πάσχοντες ἀνεπόδιζον. πολλάκις τε
οὕτως ἀπαλλάξαντες οὐκέτι ἠνώχλουν, ἀλλ' ἑτέραν ἴλην Τωτίλας εἰς τὸ
ἔργον τοῦτο ἀντικαθίστη. ὧνπερ ὁμοίως τοῖς προτέροις ἀπαλλαγέντων
ἕτεροι ἐς τὴν πρᾶξιν καθίσταντο. πολλάς τε ἴλας ὁ Τωτίλας οὕτως 5
ἀμείψας ἐπὶ πάσαις τε ἄπρακτος γεγονὼς εἶτα ἀπεῖπεν. οἱ μὲν οὖν πεν-
τήκοντα κλέος ὑπὲρ ἀρετῆς ὑπήνεγκαν μέγα, δύο δὲ αὐτῶν διαφερόντως
ἐν τῷ πόνῳ τούτῳ ἠρίστευσαν, Παῦλός τε καὶ Αὐσίλας, οἳ δὴ ἐκπεπη-
δηκότες τῆς φάλαγγος δήλωσιν ἀρετῆς μάλιστα πάντων πεποίηνται. τοὺς
μὲν γὰρ ἀκινάκας σπασάμενοι κατέθεντο ἐς τὸ ἔδαφος, τὰ δὲ τόξα ἐντει- 10
νάμενοι ἔβαλλον ἐπικαιριώτατα στοχαζόμενοι τῶν πολεμίων. καὶ πολ-
λοὺς μὲν ἄνδρας, πολλοὺς δὲ ἵππους διεχρήσαντο, ἕως ἔτι εἶχον τοὺς
ἀτράκτους αὐτοῖς αἱ φαρέτραι. ἐπειδὴ δὲ ἅπαντα αὐτοὺς τὰ βέλη ἤδη
ἐπελελοίπει, οἱ δὲ τά τε ξίφη ἀνελόμενοι καὶ τὰς ἀσπίδας προβεβλη-

1. ἐπαίουσι *W* 3. οὔτω *CWv* *Dopo* οὔτω *segno di lacuna in W* ἀπαλα-ξάντες *W* ἠνώχλουν] *Cf (marg.)* ἐνώχλουν *Wvf* ἐνόχλουν *HP* ἠνόχλουν *Reg., B* τουττίλας *Cv* τουττῖλας *W* τουτίλλας *fL, H* εἰς] *WP* ἐς *Cv* δὲ εἰς *f, H* δὴ εἰς *f (marg.) L, B* 4. ἀντικαθέστη *f (corr. in marg.), HP* πρωτέροις *W* 5. τουττίλας *Cv* τουττῖλας *W* τουτίλλας *fL, H* οὔτω *W* 7. ἀπήνεγκαν *Braun* 8. ἀνσίλας *C* αὐσῖλας *W* 10. εἰς *C* 11. ἔβαλλον] *CWv* ἔβαλον *f, le edd.* 14. ἐπιλελοίπει *CWf*

tornaron indietro; tentata una seconda prova collo stesso successo recederon di nuovo, e dopo aver più volte così retroceduto smisero l'assalire. Totila però mandò per la stessa impresa un altro squadrone, il quale respinto come il primo, altri furon mandati. Così Totila, dopo aver mandato successivamente molti squadroni e sempre senza successo, rinunziò all'impresa. I cinquanta si fecero grande onore per questo fatto valoroso, ma due fra di essi in quello principalmente si distinsero: Paolo ed Ausila, i quali, usciti fuor delle file, diedero la maggior prova di coraggio, poichè, estratte le daghe le deposero in terra e teso l'arco presero, mirando sempre bene nel segno, a saettare i nemici e molti uomini e molti cavalli uccisero finchè ebbero dardi nella faretra; quando questi poi furon tutti esauriti, prese su le daghe e copertisi degli scudi da soli stetter contro agli assalitori, ed appena

μένοι κατὰ μόνας τοὺς ἐπιόντας ἠμύνοντο. ἐπειδάν τε ἱππευόμενοι τῶν ἐναντίων τινὲς ξὺν τοῖς δόρασιν ἐπ' αὐτοὺς ἴοιεν, οἱ δὲ τοῖς ξίφεσι παίοντες ἀπεκαύλιζον τῶν δοράτων εὐθὺς τὰς αἰχμάς. πολλάκις δὲ αὐτῶν οὕτω δὴ ἀναστελλόντων τὰς τῶν πολεμίων ἐπιδρομὰς ξυνηνέχθη
5 τὸ θατέρου ξίφος (ἦν δὲ οὗτος ἀνὴρ Παῦλος ὀνόματι) συγκεκάμφθαι τῇ ἐς τὰ ξύλα ξυνεχεῖ τομῇ καὶ τὸ παράπαν ἀχρεῖον εἶναι. ὅπερ αὐτίκα μὲν προσουδίζει χαμαὶ, χερσὶ δὲ ἀμφοτέραις ἐπιλαβόμενος τῶν δοράτων ἀφῄρητο τοὺς ἐπιόντας. τέτταρά τε δόρατα οὕτω τοὺς πολεμίους διαφανῶς ἀφελόμενος αἰτιώτατος γέγονε τοῦ τὴν πρᾶξιν αὐτοὺς
10 ἀπογνῶναι. διὸ δὴ αὐτὸν καὶ ὑπασπιστὴν αὑτοῦ ἴδιον ἀπὸ τοῦ ἔργου τούτου Ναρσῆς τὸ λοιπὸν κατεστήσατο.

H 367 B 614

λ'. Ταῦτα μὲν οὖν τῇδε κεχώρηκεν. ἑκάτεροι δὲ παρεσκευάζοντο εἰς παράταξιν. καὶ Ναρσῆς τὸ στράτευμα ἐν χώρῳ ὀλίγῳ ξυναγαγὼν τοιάδε παρεκελεύσατο « Τοῖς μὲν ἐξ ἀντιπάλου τῆς δυνάμεως ἐς ἀγωνίαν
15 « τοῖς πολεμίοις καθισταμένοις παρακελεύσεώς τε ἂν ἴσως δεήσειε πολλῆς

V 237 P 650

3. ταῖς αἰχμαῖς *Wf (corr. in marg.) L (corr.), H* 5. τῷ συγκεκάφθαι *C Wvf (corr.)* 6. συνεχεῖ *WvL* ὥσπερ *W* 7. προσουδίξει *f* 8. ἀφηρεῖτο *Cv* ἀφηρητὶ *(sic) W* τέταρα *Wv* τε *soprascr. v* 10. ἱππασπιστὴν *Wv* αὐτοῦ *CWvf (corr.)* 15. καθειστάμ. *W* παρακελεύσε ὥστε *(sic) W*

alcuni nemici a cavallo li investissero, essi tosto a colpi di daga troncavan loro la punta delle lance. E così, avendo già più volte respinto l' assalto dei nemici, avvenne che la spada di un di loro, e propriamente di Paolo, per i tanti legni che avea tagliati, si piegò, divenendo affatto inservibile e colui, gittatala tosto a terra, con ambe le mani afferrate le aste, le strappava ai nemici; e per tal modo, avendo a vista di tutti tolto quattro aste a costoro, fu principal cagione che essi rinunziassero all' impresa. Perlocchè Narsete dietro un tal fatto lo prese e l' ebbe poi sempre fra i propri suoi scudieri.

XXX. A tanto ne eran le cose, e da ambo le parti apprestavansi alla pugna. Narsete allora, raccolto in ristretto spazio l' esercito, lo arringò così: « Là dove si viene a conflitto con « nemici di forza eguale può darsi sia necessario incitare gli animi

« καὶ παραινέσεως τὴν προθυμίαν ὁρμώσης, ὅπως δὴ ταύτῃ τῶν ἐναντίων
« πλεονεκτοῦντες κατὰ νοῦν μάλιστα τῆς παρατάξεως ἀπαλλάξωσιν· ὑμῖν
« δὲ, ὦ ἄνδρες, οἷς καὶ τῇ ἀρετῇ καὶ τῷ πλήθει καὶ τῇ ἄλλῃ παρασκευῇ
« πάσῃ πολλῷ τῷ διαλλάσσοντι πρὸς καταδεεστέρους ἡ μάχη, οὐδὲν ἄλλο
« προσδεῖν οἴομαι ἢ τῷ θεῷ ἵλεῳ ἐς ξυμβολὴν τήνδε καθίστασθαι. εὐχῇ 5
« τοίνυν αὐτὸν ἐνδελεχέστατα ἐς ξυμμαχίαν ἐπαγόμενοι πολλῷ τῷ κα-
« ταφρονήματι ἐπὶ τούτων δὴ τῶν λῃστῶν τὴν ἐπικράτησιν ἴεσθε, εἴ γε
« δοῦλοι βασιλέως τοῦ μεγάλου τὸ ἐξ ἀρχῆς ὄντες καὶ δραπέται γεγενη-
« μένοι τύραννόν τε αὐτοῖς ἀγελαῖόν τινα ἐκ τοῦ συρφετοῦ προστησάμενοι
« ἐπικλοπώτερον συνταράξαι τὴν Ῥωμαίων ἀρχὴν ἐπὶ καιροῦ τινος 10
« ἴσχυσαν. καίτοι τούτους γε ἡμῖν οὐδὲ ἀντιπαρατάσσεσθαι νῦν τὰ
« εἰκότα λογιζομένους ὑπώπτευσεν ἄν τις. οἱ δὲ θράσει θανατῶντες
B 615 « ἀλογίστῳ τινὶ καὶ μανιώδη προπέτειαν ἐνδεικνύμενοι προὖπτον αὐτοῖς
« θάνατον ἀναιρεῖσθαι τολμῶσιν, οὐ προβεβλημένοι τὴν ἀγαθὴν ἐλπίδα,
« οὐδὲ τί ἐπιγενήσεται σφίσιν αὐτοῖς ἐκ τοῦ παραλόγου καὶ τοῦ παρα- 15

1. ταύτην *IVv* 2. ἀπαλάξωσιν *IVf (corr.)* 3. ἧς *per* οἷς *IV* 4. δια-λάσσοντι *f (corr.)* ἡ] *i codd.* ἐστὶν ἡ *f (marg.), le edd.* 5. κατίστασθαι *C* 7. ἴεσθε] *IV, B* ἴεσθε *vf (marg.), H (id.) P* ἴεσθαι *fL, H* οἵ *per* εἴ *Wv* 11. ἀντιπαρατάσσασθαι *C* 12. θανατωθέντες *C* 13. ἀλογίστως *f (corr. in marg.), H* αὑτοῖς *f (di sec. m.)* 14. ἀνερεῖσθαι *IV*

« con esortazioni, perchè almeno per questo superando in prepa-
« razione gli avversari si comportino come si richiede nella pugna.
« Per voi però valenti uomini, che avete a pugnare con nemici assai
« inferiori per valore, per numero e per ogni apparato, non credo
« sia altro da fare che mettervi col favore di Dio in questa pu-
« gna. Implorato adunque ardentemente l' aiuto di Lui, procedete
« col massimo sprezzo a conquidere questi ladroni, dacchè già
« un tempo schiavi del grande imperatore, resisi contumaci si
« elessero un tiranno dalla feccia della plebe e ladrescamente riu-
« sciron per un certo tempo a mettere a soqquadro l' impero
« romano. Eppure niuno penserebbe mai che costoro ora, ben
« riflettendo, osasser misurarsi con noi. Ma essi con inconsulta
« temerità son vogliosi di perire, e con pazza precipitazione osano
« andare incontro a morte certa, senza pur farsi scusa della buona
« speranza nè saper qual cosa possano aspettarsi dal fatto strano ed

«δόξου καραδοκοῦντες, ἀλλὰ πρὸς τοῦ θεοῦ διαρρήδην ἐπὶ τὰς ποινὰς
«τῶν πεπολιτευμένων ἀγόμενοι. ὧν γὰρ ἄνωθέν τι κατεγνώσθη παθεῖν,
«χωροῦσιν ἐπὶ τὰς τιμωρίας αὐτόματοι. χωρὶς δὲ τούτων ὑμεῖς μὲν
«πολιτείας εὐνόμου προκινδυνεύοντες καθίστασθε εἰς ξυμβολὴν τήνδε,
5 «οἱ δὲ νεωτερίζουσιν ἐπὶ τοῖς νόμοις ζυγομαχοῦντες, οὐ παραπέμψειν
«τι τῶν ὑπαρχόντων ἐς διαδόχους προσδοκῶντές τινας, ἀλλ' εὖ εἰδότες
«ὡς συναπολεῖται αὐτοῖς ἅπαντα καὶ μετ' ἐφημέρου βιοτεύουσι τῆς
«ἐλπίδος. ὥστε καταφρονεῖσθαι τὰ μάλιστά εἰσιν ἄξιοι. τῶν γὰρ οὐ
«νόμῳ καὶ ἀγαθῇ πολιτείᾳ ξυνισταμένων ἀπολέλειπται μὲν ἀρετὴ πᾶσα,
10 «διακέκριται δὲ, ὡς τὸ εἰκὸς, ἡ νίκη, οὐκ εἰωθυῖα ταῖς ἀρεταῖς ἀντι-
«τάσσεσθαι». τοιαύτην μὲν ὁ Ναρσῆς τὴν παρακέλευσιν ἐποιήσατο.

Καὶ Τωτίλας δὲ τεθηπότας τὴν Ῥωμαίων στρατιὰν τούς οἱ ἑπο-
μένους ὁρῶν ξυγκαλέσας καὶ αὐτὸς ἅπαντας ἔλεξε τάδε. «Ὑστάτην
«ὑμῖν παραίνεσιν ποιησόμενος ἐνταῦθα ὑμᾶς, ἄνδρες ξυστρατιῶται,
15 «ξυνήγαγον. ἄλλης γὰρ, οἶμαι, παρακελεύσεως μετὰ τήνδε τὴν ξυμ-

4. καθίσθασθαι *f (corr.)* 8. μέλιστά *(sic) v* ἐν *corr. da* οὐ *di m. rec. W*
10. εἰκὼς *W* 12. τουττίλας *Cv* τουττῖλας *W* τουτίλλας *fL, H* 14. ξυν-
στρατιῶται *Wvf (corr.)*

«incredibile, ma chiaramente da Dio stesso menati alla puni-
«zione del loro malgoverno. Imperocchè coloro che dal cielo
«son condannati ad una pena vanno da sè stessi incontro a
«questa. Oltre di che, voi venite qui a combattere, cimentandovi
«per un governo regolare e legittimo, mentre costoro recalci-
«trano contro le leggi ed aspirano a rinnovamenti, non aspet-
«tando di tramandare alcunchè dei loro averi a verun erede,
«ma ben sapendo che tutto perirà con essi e che efimera è la
«loro speranza. Ond' è che ben meritano essere avuti a vile,
«poichè ogni virtù vien meno a coloro che non sono retti da
«leggi e da buon governo, e da essi rimane naturalmente lon-
«tana la vittoria che non è solita tener via opposta a quella
«della virtù». Tale fu l' arringa di Narsete.

Totila alla sua volta vedendo i suoi sbigottiti dinanzi al-
l' esercito romano, raccoltili tutti parlò ad essi così: «Io vi ho
«raccolti qui, o commilitoni, per rivolgervi l' ultima esortazione,
«poichè a mio credere dopo questa pugna d' altro incitamento

«βολὴν οὐκ ἔτι δεήσει, ἀλλὰ τὸν πόλεμον ἐς ἡμέραν μίαν ἀποκε-
P 651 «κρίσθαι ξυμβήσεται πάντως. οὕτω γὰρ ἡμᾶς τε καὶ βασιλέα Ἰου-
«στινιανὸν ἐκνενευρίσθαι τετύχηκε καὶ περιῃρῆσθαι δυνάμεις ἁπάσας,
«πόνοις τε καὶ μάχαις καὶ ταλαιπωρίαις ὡμιληκότας ἐπὶ χρόνου παμ-
«μέγεθες μῆκος, ἀπειρηκέναι τε πρὸς τὰς τοῦ πολέμου ἀνάγκας, 5
B 616 «ὥστε, ἢν τῇ ξυμβολῇ τῇ νῦν τῶν ἐναντίων περιεσώμεθα, οὐδαμῶς
«ἀναποδιεῖν τὸ λοιπὸν ἕξουσιν, ἢν δὲ ἡμεῖς τι προσπταίσωμεν ἐν ταύτῃ
«τῇ μάχῃ, ἐλπὶς οὐδεμία εἰς τὸ ἀναμαχήσεσθαι λελείψεται Γότθοις,
«ἀλλὰ τὴν ἧσσαν ἑκατέροις σκῆψιν ἐς τὴν ἡσυχίαν εὐπρόσωπον διαρκῶς
«ἕξομεν. ἀπολέγοντες γὰρ ἄνθρωποι πρὸς τῶν πραγμάτων τὰ πονη- 10
«ρότατα ἐς αὐτὰ ἐπανιέναι οὐκέτι τολμῶσιν, ἀλλὰ καὶ σφόδρα ἴσως
«διωθουμένης αὐτοὺς ἐπὶ ταῦτα τῆς χρείας ταῖς γνώμαις ἀναχαιτί-
«ζονται, δεδισσομένης αὐτοῖς τὰς ψυχὰς τῆς τῶν κακῶν μνήμης. το-
«σαῦτα, ὦ ἄνδρες, ἀκηκοότες ἀνδραγαθίζεσθε μὲν τῷ παντὶ σθένει,
«μηδεμίαν ἐς ἄλλον τινὰ χρόνον ἀποτιθέμενοι τῆς ψυχῆς ἀρετήν, τα- 15

4. ταλεπωρ. *W* 4-5. παμμεγέθες *Wv* 6. περιεσόμ. *W* 7-8. ἀναποδιεῖν - εἰς τὸ] *C* (τολοιπὸν) *Wv*; *om. f L e le edd.* 8. ἀναμαχήσεσθε *W* 10. ἀπολήγ. *corr. da* ἀπολέγ. *W* 12. διωχθουμένης *f* αὐτῆς *Wvf (corr. in marg.) L (corr.), H*

«non vi sarà d'uopo, ma tutta la guerra sarà decisa e finita
«in un solo giorno. Ed invero tanto noi quanto l'imperatore
«Giustiniano siam fiaccati ed esausti di forze pei travagli, le
«battaglie, gli stenti fra i quali per lunghissimo tempo abbiam
«vissuto, ed anche le durezze della guerra ci son venute a
«noia; talchè se mai superassimo in questa battaglia i nemici,
«mai più non potranno essi rifarsi a pugnare; se poi in questa
«un disastro a noi toccasse, niuna speranza rimarrebbe ai Goti
«di rinnovare la pugna, ma dall'una parte e dall'altra i danni
«riportati sarebbero valevole e sufficiente motivo a tenerci
«quieti; poichè gli uomini scorraggiati da grandi iatture non
«ardiscono rimettersi a simil procinto, ma anzi, se mai la ne-
«cessità fortemente a quello li spinga, l'animo loro a ciò si ri-
«bella, sgomento per la memoria dei mali passati. Dopo questo
«ch'io vi dico, o valenti uomini, fate ogni sforzo per agir da
«prodi, non riserbando ad altro tempo alcuna virtù dell'anima

« λαιπωρεῖσθε δὲ ἀλκῇ τῇ πάσῃ, μηδὲ τὸ σῶμα ταμιευόμενοι ἐς κίν-
« δυνον ἄλλον. ὅπλων δὲ ὑμῖν γινέσθω καὶ ἵππων οὐδεμία φειδὼ, ὡς
« οὐκέτι χρησίμων ἐσομένων ὑμῖν. ἅπαντα γὰρ προκατατρίψασα τὰ
« ἄλλα ἡ τύχη, μόνην τῆς ἐλπίδος τὴν κεφαλὴν ἐς τὴν ἡμέραν ἐφύλαξε
5 « ταύτην. τὴν εὐψυχίαν τοίνυν ἀσκεῖτε καὶ πρὸς εὐτολμίαν παρασκευά-
« ζεσθε. οἷς γὰρ ἐπὶ τριχὸς ἡ ἐλπὶς, ὥσπερ τανῦν ἡμῖν, ἕστηκεν, οὐδὲ V 238
« χρόνου τινὰ βραχυτάτην ῥοπὴν ἀναπεπτωκέναι ξυνοίσει. παρεληλ-
« λυθυίας γὰρ τῆς ἀκμῆς τοῦ καιροῦ ἀνόνητος τὸ λοιπὸν ἡ σπουδὴ
« γίνεται, κἂν διαφερόντως ὑπέρογκος ᾖ, οὐκ ἐνδεχομένης τῶν πραγ-
10 « μάτων τῆς φύσεως ἀρετὴν ἕωλον, ἐπεὶ παρελθούσης τῆς χρείας ἔξωρα H 368
« καὶ τὰ ἐπιγινόμενα ἐπάναγκες εἶναι. οἶμαι τοίνυν προσήκειν ὑμᾶς
« ἐπικαιριώτατα ἐν ἔργῳ λαβεῖν τὴν ἀγώνισιν, ὡς ἂν δυνήσησθε καὶ
« τοῖς ἀπ᾽ αὐτῆς ἀγαθοῖς χρῆσθαι. ἐξεπίστασθέ τε ὡς ἐν τῷ παρόντι B 617
« ἀξιώλεθρος μάλιστα ἡ φυγὴ γίνεται. φεύγουσι γὰρ ἄνθρωποι λι-

1. ἀλκῇ] *CWv* ἀνάγκῃ *fL, le edd.* 4. ἐς *om. W, HP (agg. in marg.)* εἰς *v* 5. εὐτυχίαν *per* εὐψ. *Wf, H* 6. ἐπὶ τριχὸς ἡ] *CWv* ἡ ἐπὶ τριχὸς *fL, le edd.* ἡμῖν] *C* ὑμῖν *WvfL, le edd.* 7-8. παρεληλυθίας *W* 8. ἀνόητος *W* ἡ σπουδὴ τὸ λοιπὸν *C* 10. ἔξορα *W* 11. ἐπάναγκαις *W* ἡμᾶς *CWvL* 12. δυνήσεσθαι *W* δυνήσεσθε *v* 14. ὡς ἀξιώλ. *Wvf* φεύγουσιν *W* 14-1 *(p. 230)*. λιπόντες] *CWv* οἱ λειπόντες *fL, le edd.*

« vostra; esponetevi da forti ad ogni durezza, non risparmiando
« la vostra persona per altro cimento. Delle armi e dei cavalli
« non fate economia, poichè mai più non potranno servirvi;
« chè invero la fortuna, mandata ogni altra cosa a male, tutta
« la somma della nostra speranza ha serbato per questo giorno.
« Siate dunque animosi e pronti all' ardire; poichè coloro la cui
« speranza, come ora per noi, sta sul fil d' un capello, non con-
« viene esitino neppure un istante; chè passato il momento pro-
« pizio, riesce inutile poscia lo zelo per massimo che sia; non
« essendo accettata dalla natura una virtù tardiva. Ed invero è
« pur d' uopo che riesca intempestivo quanto si fa passata l' ora
« del bisogno. Io penso adunque che voi dobbiate opportuna-
« mente cogliere i momenti propizi nel pugnare perchè possiate
« anche valervi del bene che ne può venire. E ponete mente
« che nel caso presente nulla è più rovinoso della fuga. Infatti

« πόντες τὴν τάξιν οὐκ ἄλλου του ἕνεκα ἢ ὅπως βιώσονται· ἢν δὲ
« θάνατον ἡ φυγὴ προὔπτον ἐπάγεσθαι μέλλῃ, ὁ τὸν κίνδυνον ὑποστὰς
« τοῦ φυγόντος πολλῷ ἔτι μᾶλλον ἐν ἀσφαλεῖ ἔσται. τοῦ δὲ τῶν πο-
« λεμίων ὁμίλου ὑπερφρονεῖν ἄξιον, ἐξ ἐθνῶν ξυνειλεγμένων ὅτι μάλιστα
« πλείστων. ξυμμαχία γὰρ πολλαχόθεν ἐρανισθεῖσα οὔτε τὴν πίστιν 5
« οὔτε τὴν δύναμιν ἀσφαλῆ φέρεται, ἀλλὰ σχιζομένη τοῖς γένεσι με-
« ρίζεται καὶ ταῖς γνώμαις εἰκότως. μηδὲ γὰρ οἴεσθε Οὔννους τε καὶ
« Λαγγοβάρδους καὶ Ἐρούλους ποτὲ, χρημάτων αὐτοῖς μεμισθωμένους
« οὐκ οἶδα ὁπόσων, προκινδυνεύσειν αὐτῶν ἄχρι ἐς θάνατον. οὐ γὰρ
« οὕτως αὐτοῖς ἡ ψυχὴ ἄτιμος ὥστε καὶ ἀργυρίου τὰ δευτερεῖα παρ' 10
« αὐτοῖς φέρεσθαι, ἀλλ' εὖ οἶδα ὡς μάχεσθαι τὰ ἐς τὴν ὄψιν ποιούμενοι
« ἐθελοκακήσουσιν αὐτίκα δὴ μάλα, ἢ κεκομισμένοι τὴν μίσθωσιν, ἢ
« τὴν ἐπίταξιν ὑποτετελεκότες τῶν ἐν σφίσιν ἀρχόντων. τοῖς γὰρ ἀν-
« θρώποις καὶ τῶν πραγμάτων τὰ τερπνότατα δοκοῦντα εἶναι μὴ ὅτι
« πολέμια, ἢν μὴ κατὰ γνώμην αὐτοῖς πράσσηται, ἀλλὰ βιασθεῖσιν ἢ 15

4. ὑπερφρονεῖν] *CWv* καταφρονεῖν *fL, le edd.* 6. σχιζομένης *Wf (corr.)* 8. ἐρούλλους *CWvf* 9. προσκινδ. *W* 10. ἄτιμον *CWvf (corr. in marg.) L (corr.), H* 11. αὐτοὺς *L (corr.)* φέρεται *Wf (corr.)* 12. κεχοσμένοι *W (corr.) f* κεχοσμε^οι (*sic*) *v* 14. τὰ τῶν πραγμ. τερπν. *CWv*

« gli uomini abbandonan le file e si mettono in fuga non per
« altro se non per vivere; quando però il fuggire meni a certa
« morte, rimane assai più al sicuro colui che sta fermo al ci-
« mento che colui che fugge. Nè merita considerazione la massa
« dei nemici, raccolta com' è da tante nazioni le più diverse. Un
« consorzio militare a prezzo radunato da molte parti non ha
« alcuna fermezza di fedeltà nè di forze, ma deve naturalmente
« andar diviso secondo le stirpi e le idee diverse. Nè vogliate
« credere che gli Unni, i Longobardi, gli Eruli comprati da essi
« per non so quanto danaro mai si cimenteranno per essi fino
« alla morte; poichè della vita non fanno coloro così poco caso
« da posporla al danaro; ma son certo che dopo fatto sembianza
« di combattere, presto agiran più rimessamente, sia perchè già
« han ricevuta la mercede, sia per eseguire segrete istruzioni dei
« loro duci. Imperocchè non solo la guerra, ma anche le cose
« che si stimano più piacevoli, se non sian fatte per proprio vo-

« μισθαρνήσασιν ἢ ἄλλῳ τῳ ἀναγκασθεῖσιν, οὐκέτι αὐτοῖς ἐπὶ τὸ κα-
« ταθύμιον ἀποκεκρίσθαι ξυμβήσεται, ἀλλὰ τῷ ἀναγκαίῳ μοχθηρὰ P 652
« φαίνεται. ὧν ἐνθυμηθέντες προθυμίᾳ τῇ πάσῃ ὁμόσε τοῖς πολεμίοις
« χωρήσωμεν ».

5 λα'. Τοσαῦτα μὲν οὖν καὶ ὁ Τωτίλας εἶπε. τὰ δὲ στρατεύματα B 618
ἐς μάχην ξυνῄει καὶ ἐτάξαντο ὧδε. μετωπηδὸν μὲν ἀμφοτέρωθεν
ἅπαντες ἔστησαν, ὡς βαθύτατόν τε καὶ περίμηκες τῆς φάλαγγος τὸ
μέτωπον ποιησόμενοι. τῶν δὲ Ῥωμαίων κέρας μὲν τὸ ἀριστερὸν Ναρσῆς
τε καὶ Ἰωάννης ἀμφὶ τὸ γεώλοφον εἶχον καὶ ξὺν αὐτοῖς εἴ τι ἄριστον
10 ἐν τῷ Ῥωμαίων στρατῷ ἐτύγχανεν ὄν. ἑκατέρῳ γὰρ τῶν ἄλλων χωρὶς
στρατιωτῶν, δορυφόρων τε καὶ ὑπασπιστῶν καὶ βαρβάρων Οὔννων, εἵπετο
πλῆθος ἀριστίνδην συνειλεγμένων. κατὰ δεξιὸν Βαλεριανός τε καὶ Ἰωάν-
νης ὁ Φαγᾶς ξὺν τῷ Δαγισθαίῳ καὶ οἱ κατάλοιποι Ῥωμαῖοι ἐτάξαντο
πάντες. πεζοὺς μέντοι τοξότας ἐκ τῶν καταλόγου στρατιωτῶν ὀκτα-

1. αὐτοὺς *Wvf (corr.) L (id.)* 5. οὖν] *C; om. gli altri codd. e le edd.* τουττίλας *Cv* τουττῖλας *W* τουτιλλας *fL, H* 6. μετροπηδὸν *W* 7. ἅπαν-τας *W* 8. μέτοπον *W* ποιησάμ. *Braun* καίρας *W (corr.) v* 9. ἰωάνης *v* 11. στρατιωτῶν] *C* τῶν στρ. *gli altri codd. e le edd.* δοριφόρων *W* 12. ἀρι-στήδην *Wv* 13. σὺν *CWv* ϑαγισϑαίω *Wvf (corr.)*

« lere ma per forza, o per prezzo, o per altra necessità, non vanno
« più a versi, ma riescon anzi penose perchè obbligatorie. Tanto
« tenendo in mente, con tutto l' animo marciamo uniti contro i
« nemici ».

XXXI. Tanto disse Totila ed i due eserciti si schierarono
in battaglia così disposti. Stavano tutti dirimpetto gli uni agli
altri, in modo da formare assai profonda ed estesa la fronte della
falange. All' ala sinistra dell' esercito romano stavano presso il
tumulo Narsete e Giovanni, e con essi il fiore di quelle truppe,
poichè ambedue oltre agli altri soldati avean seco una gran quan-
tità di lance spezzate, scudieri ed Unni di prima scelta. All' ala
destra stavano Valeriano, Giovanni il Mangione insieme a Da-
gistheo ed a tutti gli altri Romani. Ottomila arcieri a piedi di

κισχιλίους μάλιστα ἔστησαν κατ' ἄμφω τὰ καὶ τάδε. κατὰ μέσα τῆς
φάλαγγος τούς τε Λαγγοβάρδας καὶ τὸ Ἐρούλων ἔθνος καὶ πάντας τοὺς
ἄλλους βαρβάρους ὁ Ναρσῆς ἔταξεν, ἔκ τε τῶν ἵππων ἀποβιβάσας καὶ
πεζοὺς εἶναι καταστησάμενος, ὅπως ἂν μὴ κακοὶ ἐν τῷ ἔργῳ γενόμενοι
ἢ ἐθελοκακοῦντες, ἂν οὕτω τύχῃ, ἐς ὑπαγωγὴν ὀξύτεροι εἶεν. τὸ μέντοι 5
πέρας κέρως τοῦ εὐωνύμου τῶν Ῥωμαίων μετώπου Ναρσῆς ἐγγώνιον
κατεστήσατο, πεντακοσίους τε καὶ χιλίους ἱππεῖς ἐνταῦθα στήσας.
προείρητο δὲ τοῖς μὲν πεντακοσίοις, ἐπειδὰν τάχιστα τῶν Ῥωμαίων
τισὶ τραπῆναι ξυμβαίη, ἐπιβοηθεῖν αὐτοῖς ἐν σπουδῇ, τοῖς δὲ χιλίοις,
ὁπηνίκα οἱ τῶν πολεμίων πεζοὶ ἔργου ἄρχωνται, κατόπισθέν τε αὐτῶν 10
B 619 αὐτίκα γενέσθαι καὶ ἀμφιβόλους ποιήσασθαι. καὶ ὁ Τωτίλας δὲ τρόπῳ
τῷ αὐτῷ τοῖς πολεμίοις ἀντίαν τὴν στρατιὰν ξύμπασαν ἔστησε. καὶ
περιιὼν τὴν οἰκείαν παράταξιν τοὺς στρατιώτας παρεθάρσυνέ τε καὶ
παρεκάλει ἐς εὐτολμίαν προσώπῳ καὶ λόγῳ. καὶ ὁ Ναρσῆς δὲ ταὐτὸ

1. κατ' ἄ.] *L, Braun, PB* ἔς ἄ. *Cv* καὶ ἄ. *Wf, H* κέρα *per* καὶ τάδε *Braun* (*cf. p. 236, r. 15; p. 238, r. 7*). κατὰ] *Maltreto, Braun, PB* τὰ *i codd., H* μέγα *f* (*corr. in marg.*), *H* (*id.*) δὲ *per* τῆς *Braun* 2. λαγγουβάρδας *Wv* ἐρούλλων *CIWvf* 5. ὑποταγὴν *WvL, H* 6. ἐγκόνιον *Wv* ἐγρόνιον *f* (*corr.*) *L, H* 7. καταστήσατο *W* πεντακοσίων *f* (*corr.*) 8. πενταχ. τε καὶ χιλίοις ἐπ. *CIWvf* 9. αὐτοὺς *Cv* 10. ἔργου] *Cf* (ἔργα *di sec. m.*) ἔργον *Wv* ἔργα *L, le edd.* 11. τουττίλας *CIWv* τουτίλλας *f L, H* 12. ἀντίαν] *CWv* ἐναντίαν *gli altri codd. e le edd.* 13. περιὼν *Wv* παρεθράσυνέ *WvfL* 14. εἰς *f* (*corr.*)

truppa regolare stavano da ambo i lati. Nel centro Narsete collocò i Longobardi, gli Eruli e tutti gli altri barbari e li fece tutti scender da cavallo e stare a piedi, affinchè non avvenisse che, impauriti nella pugna, o perfidamente negligenti, avessero troppa facilità di fuggire. All' estremità dell' ala sinistra nella fronte diede Narsete forma angolare, ponendovi millecinquecento cavalli; a cinquecento di questi ordinò che appena avvenisse che alcuni dei Romani si volgessero in fuga accorressero tosto in loro aiuto; agli altri mille che, appena i fanti nemici attaccasser battaglia, girasser loro da tergo a metterli fra due. Totila alla sua volta dispose nella stessa maniera tutto il suo esercito di contro ai nemici, e percorrendo la propria armata colla persona e colle parole animava ed incoraggiava i soldati. Narsete pure

τοῦτο ἐποίει, ψέλιά τε καὶ στρεπτοὺς καὶ χαλινοὺς χρυσοῦς ἐπὶ κοντῶν
μετεωρίσας καὶ ἄλλα ἄττα τῆς ἐς τὸν κίνδυνον προθυμίας ὑπεκκαύματα V 239
ἐνδεικνύμενος. χρόνον δέ τινα μάχης οὐδέτεροι ἦρχον, ἀλλ' ἡσυχῇ
ἀμφότεροι ἔμενον, προσδεχόμενοι τὴν τῶν ἐναντίων ἐπίθεσιν.

5 Μετὰ δὲ εἷς ἐκ τοῦ Γότθων στρατοῦ, Κόκας ὄνομα, δόξαν ἐπὶ τῷ
δραστηρίῳ διαρκῶς ἔχων, τὸν ἵππον ἐξελάσας, ἄγχιστα ἦλθε τοῦ Ῥω-
μαίων στρατοῦ, προὐκαλεῖτό τε, εἴ τις βούλοιτο, πρὸς μονομαχίαν ἐπε- P 653
ξιέναι. ὁ δὲ Κόκας οὗτος, εἷς τῶν Ῥωμαίων στρατιωτῶν ἐτύγχανεν
ὢν τῶν παρὰ Τωτίλαν ἀπηυτομοληκότων τὰ πρότερα. καί οἱ αὐτίκα
10 τῶν τις Ναρσοῦ δορυφόρων ἀντίος ἔστη, Ἀρμένιος γένος, Ἀνζαλᾶς
ὄνομα, καὶ αὐτὸς ἵππῳ ὀχούμενος. ὁ μὲν οὖν Κόκας ὁρμήσας πρῶτος
ὡς τῷ δόρατι παίσων ἐπὶ τὸν πολέμιον ἵετο, καταστοχαζόμενος τῆς
ἐκείνου γαστρός. ὁ δὲ Ἀνζαλᾶς ἐξαπιναίως τὸν ἵππον ἐκκλίνας ἀνό-
νητον αὐτὸν κατεστήσατο γενέσθαι τῆς οἰκείας ὁρμῆς. ταύτῃ τε αὐτὸς

1. ψέλλια *WvfL, HP* ἐπὶ κοντῶν] ἐπικοντῶν *CWv* ἐπ' αὐτῶν *gli altri codd. e le edd.* 2. μετεωρήσας *CWvfL, H* 5. ἐκ] *Cv*; *om. gli altri codd. e le edd.* κόκκας *C* « δόκας *R. V.* » *f (marg.)* Docas *Persona* 6. ἄγχιστα ἦλθε] *Cv*; ἦλθεν ἄγχι *f (marg.), le edd.* ἄγχιστα *om. Wf* 7. εἴ τις εἰ *Wv* 8. κόκκας *C* 9. τουττίλαν *CWv* τουτίλλαν *fL, H* ἀπηντομ. *W* 10. τῆς *per* τις *Wv* ἔστη] *CWv* ἦλθε *gli altri codd. e le edd.* Ἀρμένιος γένος] *C Wv* γένος ἀρμένιος *gli altri codd. e le edd.* ἀνζαλεῖς *v* 11. κόκκας *Cv* 12. πέσων *Wv* πόλεμον *f (corr. in marg.), H* ἵετο] *B* ἴετο *i codd., HP* 13. δ' ἀνζαλᾶς *Cf (marg.)* δ' ἀνζαλεῖς *WvfL* δ' Ανζαλεὶς *H* 14. οἰκίας *W*

facea altrettanto, levando in alto su aste e mostrando loro braccialetti e monili e freni d'oro ed altri incentivi. Per un certo tempo nè gli uni nè gli altri dieder principio alla pugna, ma stavansi fermi, aspettando l'attacco dei nemici.

Poscia un tale dell'esercito goto di nome Coca, assai rinomato per bravura, spronato il cavallo si accostò all'esercito romano e sfidò chiunque volesse a singolar certame con lui. Questo Coca era uno dei soldati romani che già prima aveano disertato presso Totila. Subito gli si parò contro una lancia spezzata di Narsete, un Armeno di nome Anzala, anch'egli a cavallo. Coca per primo corse addosso colla lancia in resta al nemico, mirando al ventre, ma Anzala subitamente con uno scarto del cavallo mandò a vuoto il colpo, e così giunto da lato al nemico gli

ἐκ πλαγίου τοῦ πολεμίου γενόμενος ἐς πλευρὰν αὐτοῦ τὴν ἀριστερὰν
H 369 τὸ δόρυ ὦσε. καὶ ὁ μὲν ἐκ τοῦ ἵππου πεσὼν ἐς τὸ ἔδαφος νεκρὸς
B 620 ἔκειτο · κραυγὴ δὲ ἀπὸ τοῦ Ῥωμαίων στρατοῦ ὑπερφυὴς ἤρθη, οὐδ' ὣς
μέντοι μάχης τινὸς οὐδέτεροι ἦρξαν. Τωτίλας δὲ μόνος ἐν μεταιχμίῳ
ἐγένετο, οὐ μονομαχήσων, ἀλλὰ τὸν καιρὸν τοὺς ἐναντίους τοῦτον 5
ἐκκρούσων. Γότθων γὰρ τοὺς ἀπολελειμμένους δισχιλίους ἄγχιστά πη
προσιέναι μαθὼν ἀπετίθετο ἐς τὴν αὐτῶν παρουσίαν τὴν ξυμβολήν.
ἐποίει δὲ τάδε. πρῶτα μὲν οὐκ ἀπηξίου τοῖς πολεμίοις ἐνδείκνυσθαι
ὅστις ποτὲ εἴη. τήν τε γὰρ τῶν ὅπλων σκευὴν κατακόρως τῷ χρυσῷ
κατειλημμένην ἠμπίσχετο καὶ τῶν οἱ φαλάρων κόσμος ἔκ τε τοῦ πίλου 10
καὶ τοῦ δόρατος ἁλουργός τε καὶ ἄλλως βασιλικὸς ἀπεκρέματο θαυ-
μαστὸς ὅσος. καὶ αὐτὸς ὑπερφυεῖ ὀχούμενος ἵππῳ παιδιὰν ἐν μεταιχμίῳ
ἔπαιζε τὴν ἐνόπλιον ἐπισταμένως. τόν τε γὰρ ἵππον ἐν κύκλῳ περιε-

4. τουττίλας *CWv* τουτίλλας *fL*, *H* 5. τοὺς ἐναντίους] *CWv*, *Reg.*, *H* τοῖς ἐναντίοις *Suida*, *B*; *om. f*, *P* 5-6. τοῦτον τοῖς ἐναντίοις ἐκκρουόμενος *Suida s. v.* ἐκκρουόμενος 5. τοῦτον] *Cv* τούτων *W*, *Reg.*, *H* *om. PB* 6. ἀπολειπομένους *v* ἄγχιστά πη] *Cv*; πη *om. gli altri codd. e le edd.* 8. οὐκ ἀπηξίου] *Cv* οὐκ ἀπαξίου *W* οὖν ἠξίου *gli altri codd. e le edd.* 10. κατειλημένην *W* ὁ κόσμος *CWvf* 11. βασιλικὸς ἀπεκρέματο] *C* βασιλικρέματο *WvL* βασιλεῖ πρέπων ἐκρέματο *f*, *le edd.* 12. παιδείαν *H* 13. ἔπεζε *Wv* ἐνόπλοιν *Wv* ἐνόπλην *f (corr.)* ἐπιστάμενος *CWvf (corr.)* τοῦ - ἵππου *W f (corr. in marg.) L*, *H (id.)*

cacciò la lancia nel fianco sinistro; e quegli cadde da cavallo morto sul suolo. L' esercito romano levò un immenso clamore, ma pur nondimeno da niuna delle parti venivasi a battaglia. Totila soltanto si mostrò nel dimezzo fra i due eserciti, non per venire a singolar certame, ma per carpire intanto ai nemici quel tempo; poichè, avendo appreso che i duemila Goti lasciati indietro si appressavano, cercava di rimandare lo scontro fino al loro arrivo. Ed ecco quel ch' egli faceva. In primo luogo egli non poco si curava di mostrare ai nemici qual uomo ei fosse. Indossava un' armatura tutta laminata d' oro, ed era tutto ornato dal berretto alla lancia di bendoni e pendagli e di porpora tanta che mirabil cosa era ed affatto regale. Ed egli, cavalcando uno splendido cavallo, di mezzo ai due eserciti abilmente andava facendo esercizi come alla giostra; poichè correva facendo girare il cavallo in un senso ed

λίσσων, ἐπὶ θἀτερά τε ἀναστρέφων αὖθις κυκλοτερεῖς πεποίητο δρόμους. καὶ ἱππευόμενος μεθίει ταῖς αὔραις τὸ δόρυ, ἀπ' αὐτῶν τε κραδαινόμενον ἁρπασάμενος εἶτα ἐκ χειρὸς ἐς χεῖρα παραπέμπων συχνὰ ἐφ' ἑκάτερα, καὶ μεταβιβάζων ἐμπείρως, ἐφιλοτιμεῖτο τῇ ἐς τὰ τοιαῦτα μελέτῃ,
5 ὑπτιάζων καὶ ἰσχιάζων καὶ πρὸς ἑκάτερα ἐγκλινόμενος, ὥσπερ ἐκ παιδὸς ἀκριβῶς τὰ ἐς τὴν ὀρχήστραν δεδιδαγμένος. ταῦτά τε ποιῶν πᾶσαν κατέτριψε τὴν δείλην πρωΐαν. ἐπὶ πλεῖστον δὲ τὴν τῆς μάχης ἀναβολὴν μηκύνειν ἐθέλων ἔπεμψεν εἰς τὸ Ῥωμαίων στρατόπεδον, φάσκων ἐθέλειν αὐτοῖς ἐς λόγους ξυμμῖξαι. Ναρσῆς δὲ φενακίζειν αὐτὸν ἰσχυ- B 621
10 ρίζετο, εἴ γε πολεμησείων τὰ πρότερα, ἡνίκα τοῦ προτείνεσθαι λόγους ἐξουσία εἴη, νῦν ἐν μεταιχμίῳ γενόμενος ἐς τοὺς διαλόγους χωροίη.

λβ'. Ἐν τούτῳ δὲ Γότθοις καὶ οἱ δισχίλιοι ἧκον· οὕσπερ ἐς τὸ P 654 χαράκωμα Τωτίλας ἀφικέσθαι μαθών, ἐπειδὴ καὶ ὁ καιρὸς ἐς ἄριστον

1. κυκλωτερεὶς πεποίητω *W* 2-3. κραδαινόμενος *Wvf (corr.) L (id.)* 3. ἁρπασάμενος] *CWv* ἁρπάσας μένος *fL, H* ἁρπάσας μέσον *f (marg.), Scalig., PB* 4-5. *Le parole* καὶ μεταβ. - πρὸς ἑκάτερα *om. C* 8-9. *Le parole* ἔπεμψεν - αὐτοῖς *om. W (agg. in marg. di mano rec.)* 8. ἐς *Cv* στρατόπαιδον *W (marg.)* 9. ἐϑέλων *Wv (corr.) f (id.) L, H (id.)* αὐτοὺς *v (corr.)* ἐς λόγους] *Cf (marg.), Scalig., PB* εὐλόγως *WvfL, H* ξυμμίξαι *CWvf* 10. πολεμησεῖον *W f (corr.)* 13. χαράκομα *v* τουττίλας *CW* τοῦττίλας *v* τουτίλλας *fL, H*

in un altro, caracollando; e nel così cavalcare, gittava in aria la lancia, riafferrandola poi, mentre tentennando dall' alto ricadea; quindi spesso palleggiandola e facendola passare da una mano all' altra, mostravasi orgoglioso della perizia sua in tali cose; e si gittava supino e si piegava di fianco or di qua, or di là, come colui che da bambino avea con amore appreso le prattiche delle arene. E tali cose facendo passò tutta la prima parte del mattino; volendo poi rimandare ancor più in là il principio della pugna, spedì messi all'esercito romano a dire ch'ei desiderava venire a colloquio. Ma Narsete ricusò, dicendo ch'ei si burlava, dacchè già prima, quando potevasi a bell' agio discorrere, era smanioso di combattere, ed ora che si trovava sul campo di battaglia, aveva voglia di conversare.

XXXII. Frattanto giunsero ai Goti i duemila uomini, e Totila, saputo che erano nell' accampamento, essendo prossima l' ora

ἦγεν, αὐτός τε ἐς σκηνὴν τὴν οἰκείαν ἐχώρησε καὶ Γότθοι διαλύσαντες
τὴν παράταξιν ὀπίσω ἀνέστρεφον. ἐν δὲ τῇ καταλύσει τῇ αὐτοῦ γε-
γονὼς Τωτίλας τοὺς δισχιλίους ἤδη παρόντας εὗρε. τό τε ἄριστον
ἅπαντας αἱρεῖσθαι κελεύσας καὶ τὴν τῶν ὅπλων σκευὴν μεταμφιασά-
μενος ἅπαντας ἐξωπλίσατο μὲν ἐς τὸ ἀκριβὲς ἐν στρατιωτῶν λόγῳ, 5
εὐθὺς δὲ τὴν στρατιὰν ἐπὶ τοὺς πολεμίους ἐξῆγεν, ἀπροσδόκητος αὐτοῖς
ἐπιπεσεῖσθαι οἰόμενος καὶ ταύτῃ αἱρήσειν. ἀλλ' οὐδ' ὣς ἀπαρασκεύους
Ῥωμαίους εὗρε. δείσας γὰρ ὁ Ναρσῆς, ὅπερ ἐγένετο, μὴ σφίσιν ἀπροσδο-
V 240 κήτοις ἐπιπέσοιεν οἱ πολέμιοι, ἀπεῖπεν ἅπασι μήτε ἄριστον αἱρεῖσθαι
μήτε ἀποδαρθεῖν μήτε μὴν ἀποθωρακίσασθαι τῶν πάντων μηδένα μήτε 10
τοῦ χαλινοῦ μεθεῖναι τὸν ἵππον. οὐ μέντοι οὐδὲ ἀποσίτους τὸ παράπαν
αὐτοὺς εἴασεν, ἀλλ' ἐν τῇ τάξει καὶ τῇ τῶν ὅπλων σκευῇ ἀκρατισα-
μένους ἐκέλευσε διηνεκὲς οὕτως ἀποσκοποῦντας καραδοκεῖν τῶν πολε-
μίων τὴν ἔφοδον. τρόπῳ μέντοι τῷ αὐτῷ οὐκέτι ἐτάξαντο, ἀλλὰ Ῥω-
μαίοις μὲν τὰ κέρα, ἐν οἷς κατὰ τετρακισχιλίους οἱ πεζοὶ τοξόται 15

1. χηνὴν *Wvf (corr.)* ἐχώρισε *W* 3. τουττίλας *Cv* τουττῖλας *W* του-
τίλλας *fL, H* εὗρεν *f (corr.)* 4. ἅπαντας] *Cv* πάντας *gli altri codd. e le edd.*
4-5. μεταμφιασάμενος] *CWv* μεταμφισάμενος *f (in marg.* « μεταμφιεσ. *vel* μεταμ-
φιασάμενος »*)* μεταμφιεσάμενος *L, le edd.* 5. ἐξοπλίσατο *f* 12-13. ἀκρα-
τησαμένους *CWvf (corr.)*

del pranzo, si avviò egli alla sua tenda, ed i Goti, disfatti i ranghi, si fecero indietro. Totila arrivato alla sua dimora trovò i duemila che già eran colà; ordinò che tutti desinassero e quindi, indossata l' armatura e fattili armare tutti ben militarmente, subito mosse coll' esercito contro i nemici, pensando di piombar loro addosso inaspettato e così sopraffarli. Pur tuttavia non trovò egli i Romani impreparati, poichè Narsete, temendo appunto questo che avvenne, che cioè i nemici si facesser loro sopra di sorpresa, proibì a tutti di desinare, di darsi al riposo meridiano, di deporre la corazza e di togliere il freno ai cavalli. Non li lasciò però affatto digiuni, ma volle che merendassero tenendosi in rango e colle armi addosso, costantemente all' erta, aspettando l' attacco dei nemici. Gli eserciti però non rimasero nell' ordine di prima, ma i Romani, per voler di Narsete, le ali, che eran formate ciascuna da quattromila arcieri a piedi, foggiaron nella

εἱστήκεισαν, ἐπὶ τὸ μηνοειδὲς τοῦ Ναρσοῦ γνώμῃ ἐτράπετο. Γότθοι
δὲ οἱ πεζοὶ ἅπαντες ὄπισθεν τῶν ἱππέων ἀθρόοι ἵσταντο, ἐφ' ᾧ, ἢν B 622
τοῖς ἱππεῦσι τραπῆναι ξυμβῇ, ἀναστρέφοντες μὲν ἐπ' αὐτοὺς οἱ φεύγοντες
σώζοιντο, ἐπίκοινα δὲ ἀμφότεροι εὐθὺς χωρήσαιεν. προείρητο δὲ Γότθοις
5 ἅπασι μήτε τοξεύματι μήτε ἄλλῳ ὁτῳοῦν ἐς συμβολὴν τήνδε ὅτι μὴ
τοῖς δόρασι χρῆσθαι. διὸ δὴ Τωτίλαν πρὸς τῆς ἀβουλίας καταστρα-
τηγηθῆναι τῆς αὐτοῦ ξυνηνέχθη· ὅς γε καθιστάμενος ἐς τήνδε τὴν
μάχην οὐκ οἶδα ὅτῳ ἀναπεισθεὶς παρείχετο τοῖς ἐναντίοις τὴν αὑτοῦ
στρατιὰν οὔτε τῇ ὁπλίσει ἀντίξουν οὔτε τῇ τάξει ἀντίρροπον, οὔτε τῳ
10 ἄλλῳ ἀντίπαλον, ἐπεὶ Ῥωμαῖοι μὲν ἑκάστοις ὡς ἐπικαιρότατα ἦν ἐν τῷ
ἔργῳ ἐχρῶντο, ἢ τοξεύοντες, ἢ δόρατα ὠθοῦντες, ἢ ξίφη διαχειρίζοντες,
ἢ ἄλλο τι ἐνεργοῦντες τῶν σφίσι προχείρων κἀν τῷ παρόντι ἐπιτηδείων,
οἱ μὲν ἱππευόμενοι, οἱ δὲ καὶ πεζοὶ ἐς τὴν παράταξιν καθιστάμενοι,
κατὰ τὸ τῇ χρείᾳ ξυνοῖσον, καὶ πὴ μὲν κύκλωσιν τῶν πολεμίων δια-

1. ἡστήκεισαν *Wf (in marg.* εἱστήκεισαν*)* ἐτράπαιτο *v* γότθοις *CW*
2. ἀθρόον *v* 4. ἐπίκοινα (οι sopra) *fL* ἐπίκοινοι *H* ἀμφότερα *CWvf* προείρηται *W f (corr.)* 5. μήτε - μήτε] *B* μηδὲ - μηδὲ *i codd., HP* 6. τουττίλαν *CWv* τουτίλλαν *fL, H* 7. τοῖς αὐτοῦ *Wvf (corr.* αὐτ.*)* 8. ἀναπεσθεὶς *W* αὐτοῦ *CWvf* *Dopo* αὐτοῦ *ripete le parole* ὅς γε *(r. 7)* - αὐτοῦ *W* 9. οὔτε - οὔτε] *(la prima e terza volta) B* οὐδὲ - οὐδὲ *i codd., HP* οὔτε τῇ τάξει ἀντίρροπον] *C (*οὐδὲ*) v (id.); om. gli altri codd. e le edd.* 11. ξίφει *C* 12. το *per* τι *W*
13. πεζῇ *CWvf* 14. τῇ *soprascr. v* ξυνοῖσιν *(sic) Wv* πῇ *CWvf*

fronte a semicerchio. I Goti collocarono i fanti tutti insieme a tergo della cavalleria affinchè, se questa si volgesse indietro, i fuggiaschi potessero riparar presso di loro, e quindi di conserva tosto gli uni e gli altri procedere innanzi. Ed a tutti i Goti fu dato ordine che in questa pugna non si servissero dei dardi nè di altro se non delle lance. E tale imprudente strategia a Totila dovea riuscir fatale, dacchè mettendosi a questa battaglia, non so per qual motivo espose ai nemici il proprio esercito in condizioni inferiori così nell' armamento, come nell' ordinamento ed in ogni altra cosa. Ed invero i Romani di ogni mezzo facevan uso nella pugna secondo l' opportunità, sia tirando dardi, sia vibrando la lancia, sia colpendo di spada, sia facendo pro di quanto altro avessero a mano e potesse nel momento servire, quali cavalcando, quali combattendo a piedi secondo il bisogno, a volta circon-

πρασσόμενοι, πῇ δὲ προσιόντας δεχόμενοι καὶ ταῖς ἀσπίσιν ἀποκρουόμενοι
τὴν ἐπίθεσιν. οἱ δὲ τῶν Γότθων ἱππεῖς, τῶν πεζῶν σφίσιν ἀπολελειμ-
P 655 μένων ὀπίσω, μόνοις θαρσοῦντες τοῖς δόρασιν ὁρμῇ ἀνεπισκέπτῳ ἐπῄεσαν,
ἔν τε τῷ πόνῳ γενόμενοι τῆς σφετέρας ἀβουλίας ἀπώναντο. ἐπὶ μέσους
γὰρ τοὺς πολεμίους ὁρμήσαντες ἔλαθον σφᾶς αὐτοὺς ἐν μέσῳ πεζῶν 5
τῶν ὀκτακισχιλίων γενόμενοι, τοῖς τε τοξεύμασι πρὸς αὐτῶν βαλλόμενοι
ἑκατέρωθεν ἀπεῖπον εὐθύς, ἐπεὶ οἱ τοξόται ἄμφω τοῦ μετώπου τὰ κέρα
ἐπὶ τὸ μηνοειδὲς κατὰ βραχὺ ἔτρεπον, ᾗπέρ μοι ἔμπροσθεν εἴρηται.
H 370 B 623 πολλοὺς μὲν οὖν ἄνδρας, πολλοὺς δὲ ἵππους ἐν τῷ πόνῳ τούτῳ Γότθοι
ἀπέβαλον, οὔπω τοῖς ἐναντίοις ξυμμίξαντες, πολλῶν τε ἀνηκέστων κακῶν 10
ἐς πεῖραν ἐλθόντες ὀψέ τε καὶ μόλις ἐς τῶν πολεμίων ἀφίκοντο τὴν
παράταξιν. ἐνταῦθα τῶν Ῥωμαίων τινὰς ἢ τῶν σφίσι ξυμμάχων βαρ-
βάρων μᾶλλον τῶν ἄλλων θαυμάζειν οὐκ ἔχω. μία γὰρ ἁπάντων
προθυμία τε καὶ ἀρετὴ ἐναγώνιος ἦν, ἕκαστοί τε τῶν ἐναντίων ἐπιόντων
σφίσιν ὡς καρτερώτατα δεξάμενοι τὴν ἐπιδρομὴν ἀπεώσαντο. ἤδη δὲ 15

1. πῆ *CWvf* 2. σφίσισιν *(sic) W* 4. ἀβουλλίας *Wv* 5. ὁρμίσ. *W*
7. κέρας *v* 9. πολλοὺς δὲ ἵππους] *C* πολλοὶ δὲ ἵπποι *Wf, H* πολλὴ δὲ ἵππη
(sic) v πολλὴν δὲ ἵππον *PB* 10. ξυμμήξ. *v* ἀνικέστων *W* 12. τινὰς *om.*
f (agg. in marg.) 14. καὶ ἀρ. καὶ *CWv* ἐναγώνισις *CWv f (corr.)* ἕκαστόν *C*

dando il nemico, a volta ricevendone di pie' fermo l' attacco e re-
spingendolo cogli scudi. La cavalleria dei Goti invece, avendo
i fanti collocati a tergo, senza contar su di altro che sulle lance,
si avanzava con impeto cieco, e venuta a battaglia colse il frutto
della sua improntitudine. Infatti, avventandosi contro il centro
dei nemici non si accorse che veniva a trovarsi in mezzo agli
ottomila fanti, e saettata da ambedue le parti, tosto si scoraggiò;
poichè gli arcieri, siccome già sopra io dissi, aveano poco a poco
volto ambedue le ali sulla fronte a semicerchio. Quindi i Goti in
quell' assalto perderono ben molti uomini e ben molti cavalli prima
ancora di venire alle mani coi nemici, talchè assai e gravemente
danneggiati, sol tardi ed a stento arrivarono alle schiere di questi.
E qui non so se io debba più che altri ammirare taluni Romani o
taluni dei barbari loro alleati; poichè eguale in tutti era l' alacrità
e lo zelo valoroso, ed ognun di loro resistendo gagliardamente
all' impeto dei nemici, ne respingeva l' assalto. Già volgeva il

ἀμφὶ τὰ πρὸς ἑσπέραν ἦν καὶ τὰ στρατόπεδα ἐξαπιναίως ἐκινήθη ἑκάτερα, Γότθων μὲν ἐς ὑπαγωγὴν, Ῥωμαίων δὲ ἐς τὴν δίωξιν. ὡρμημένοι γὰρ ἐς αὐτοὺς Γότθοι οὐκ ἀντεῖχον τοῖς πολεμίοις, ἀλλ᾽ ἐνεδίδοσαν ἐπιόντων αὐτῶν καὶ προτροπάδην ἀνέστρεφον, καταπεπληγμένοι
5 αὐτῶν τῷ τε ὁμίλῳ καὶ τῇ διακοσμίᾳ. ἐς ἀλκήν τε οὐδαμῆ ἔβλεπον, ὥσπερ φάσματα ἐπιπεσόντα σφίσι δειμαίνοντες, ἢ ἐξ οὐρανοῦ πολεμούμενοι. δι᾽ ὀλίγου δὲ εἰς πεζοὺς αὐτοῖς τοὺς σφετέρους ἀφικομένοις πολλῷ ἔτι μᾶλλον τὸ κακὸν ᾔρετο καὶ πρόσω ἐχώρει. οὐ γὰρ ἐν κόσμῳ τὴν ἀναχώρησιν ποιησάμενοι ἐς αὐτοὺς ἦλθον, ὡς ἀναπνεύσοντές τε καὶ
10 ξὺν αὐτοῖς ἀναμαχούμενοι, ᾗπερ εἴθισται, ἢ ὠθισμῷ τοὺς διώκοντας ἀπωσόμενοι ἢ παλίωξιν ἐγχειρίσοντες, ἢ ἄλλην τινὰ πολέμου ἰδέαν, ἀλλ᾽ οὕτως ἀτάκτως ὥστε αὐτῶν τισι καὶ διεφθάρθαι τῆς ἵππου ἐπιπεσούσης ξυνέπεσε. διόπερ αὐτοὺς οἱ πεζοὶ οὔτε διαστάντες ἐδέξαντο οὔτε διασωσάμενοι ἔστησαν, ἀλλὰ ξὺν αὐτοῖς προτροπάδην ἅπαντες

1. τῶν *per il primo* τὰ *WfL, H (corr. in nota)* τὸν *v* 2-3. ὡρμημένοις *CWvf* 4. προτροπάδην] *Cv* προπάδην (τρο *soprascr. di m. recentiss.) W* τροπάδην *fL, le edd.* 5. δικοσμία *Wv* 7. διολίγον *Wvf (corr.)* ἀφικμένοις *HP* 9. αὐτοῖς *f (corr.) L, H (id.)* 10-11. ᾗπερ - ἀπωσόμενοι] *C; om. gli altri codd. e le edd.* 13. αὐτοῖς *Wvf (corr. in marg.)*

giorno alla sera, quando subitamente i due eserciti si mossero di là, i Goti andando in fuga, ed i Romani inseguendoli; poichè i Goti, fattisi ad attaccare, non poterono tener fronte ai nemici, ma cedettero all'assalto di questi, ed a capo fitto volsero indietro, colpiti dalla massa e dal bell'ordinamento di coloro; e, demoralizzati, parea come fossero atterriti da fantasmi che li incalzassero, o quasi dal cielo si facesse lor guerra. In poco tempo giunti a riparare presso i loro fanti, più grande si fece e andò estendendosi il male; poichè non giunsero presso coloro dietro una ritirata in buon ordine per riprender fiato e quindi insieme con essi ricominciar la pugna, come si suole, sia affrontando gli inseguitori, sia facendo subiti voltafaccia, sia con altro piano di combattimento; ma vi giunsero così disordinatamente che alcuni fanti rimasero uccisi dalla cavalleria venuta loro addosso. Onde la fanteria gotica nè aprì le file per accoglierli, nè si trattenne per lor salvamento, ma si diede tutta a fuggire a precipizio insiem con essi; ed in questo uccide-

B 624 ἔφευγον, ἔνθα δὴ καὶ ἀλλήλους ὥσπερ ἐν νυκτομαχίᾳ διέφθειρον. ὅ
τε τῶν Ῥωμαίων στρατὸς, τῆς ἐκείνων ἀπολαύοντες ὀρρωδίας, φειδοῖ
οὐδεμιᾷ τοὺς ἐν ποσὶν ἀεὶ ἔκτεινον, οὔτε ἀμυνομένους οὔτε ἀντιβλέπειν
τολμῶντας, ἀλλὰ σφᾶς αὐτοὺς τοῖς πολεμίοις παρεχομένους ὅ τι βού-
λοιντο χρῆσθαι, οὕτω δὴ αὐτοῖς τά τε δείματα ἐπεκάθιζε καὶ ὁ φόβος 5
ἐκράτει. καὶ αὐτῶν ἑξακισχίλιοι μὲν ἐν τῷ ἔργῳ τούτῳ ἀπέθανον,
πολλοὶ δὲ σφᾶς αὐτοὺς ἐνεχείρισαν τοῖς ἐναντίοις. οἳ δὴ αὐτοὺς ἐν
V 241 μὲν τῷ παρόντι ἐζώγρησαν, οὐ πολλῷ δὲ ὕστερον ἔκτειναν. οὐ μόνον
δὲ Γότθοι ἀνῄρηντο, ἀλλὰ καὶ τῶν πάλαι Ῥωμαίων στρατιωτῶν πλεῖστοι,
τῶν τὸ πρότερον ἀποταξαμένων μὲν τῇ Ῥωμαίων στρατιᾷ, ἀπηυτομο- 10
ληκότων δὲ, ᾗπέρ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, παρὰ Τωτίλαν
P 656 τε καὶ Γότθους. ὅσοις δὲ δὴ τοῦ Γότθων στρατοῦ μήτε ἀπολωλέναι
μήτε τῶν πολεμίων ταῖς χερσὶ ξυνηνέχθη γενέσθαι, οὗτοι διαλαθεῖν
τε καὶ φυγεῖν ἴσχυσαν, ὡς αὐτῶν ἕκαστος ἵππου ἢ ποδῶν ἢ τύχης ἔσχεν
ἢ καιροῦ ἢ χώρου φέροντος ἐς τοῦτο ἐπιτυχεῖν. 15

2. ὀρρωδείας *f (corr.)* 3. οὔτε - οὔτε] *B* οὐδὲ - οὐδὲ *i codd., HP* 4-5. βούλλοιντο *IWv* 5. οὕτω] *Cv, Braun* οὔτε *gli altri codd. e le edd.* αὐτῆς *f (corr.)* δήματα *Wf (corr.)* 7. ἐνεχίρισαν *v* ἐνεχείρησαν *f (corr.)* 9. ἀνῄρηντο] *C* ἀνήροντο *gli altri codd. e le edd.* 10. ἀποταξ. μὲν] *C* μὲν ἀποταξ. *gli altri codd. e le edd.* 11. ἐρήθη *IWvf (corr.)* τουττίλαν *CIWv* τουτίλλαν *fL, H* 12. γότθος *per* Γότθους *f (corr.)* γότθου *per* Γότθων *CIWv* ἀπολολέναι *W* 13. τοῖς *IWvfL, HP*

vansi fra di loro come in una battaglia notturna. L'esercito romano, profittando del panico di coloro, senza pietà, quanti ne incontrava tanti ne uccideva senza che resistessero e neppure ardissero levare gli occhi, ma offrendosi da sè alla discrezione dei nemici, tanto prostrati erano dalla paura, dominati dal terrore. Seimila ne furono uccisi in quel conflitto. Molti si arresero ai nemici, i quali pel momento li presero vivi, ma poco dopo li uccisero; e non soltanto Goti furono trucidati, ma anche moltissimi soldati romani che un tempo aveano militato nell' esercito romano, ed aveano poi disertato presso Totila ed i Goti, come io narrai nei libri antecedenti. Quanti dell' esercito goto non rimaser morti, nè caddero in mano dei nemici, riuscirono a nascondersi ed a fuggire, come ciascuno potè, a piedi o a cavallo, o secondo che la sorte del momento e del luogo gli fu propizia.

Ἤδη μὲν οὖν ἡ μάχη ἐς τοῦτο ἐτελεύτα καὶ ξυνεσκόταζε παντάπασιν ἤδη. Τωτίλαν δὲ φεύγοντα ἐν σκότῳ σὺν ἀνδράσιν οὐ πλέον ἢ πέντε οὖσιν, ὧνπερ ὁ Σκιπούαρ εἷς ἐτύγχανεν ὤν, τῶν τινες Ῥωμαίων ἐδίωκον, οὐκ εἰδότες ὡς Τωτίλας εἴη· ἐν τοῖς καὶ Ἄσβαδον τὸν
5 Γήπαιδα ξυνέβαινεν εἶναι. ὅσπερ ἐπεὶ Τωτίλᾳ ἀγχοτάτω ἐγένετο, ὡς τῷ δόρατι αὐτὸν κατὰ τῶν νώτων παίσων ἐπῄει. Γοτθικὸν δέ τι μειράκιον, ἐκ τῆς Τωτίλα οἰκίας φεύγοντι τῷ δεσπότῃ ἑπόμενον, τύχην τε B 625 ἀπαξιοῦν τὴν τότε παροῦσαν, ἀνέκραγε μέγα «Τί τοῦτο, ὦ κύων, τὸν «δεσπότην τὸν σαυτοῦ πλήξων ὥρμηκας;» ὁ μὲν οὖν Ἄσβαδος ἐπὶ
10 Τωτίλαν τὸ δόρυ σθένει παντὶ ὦσεν, αὐτὸς δὲ πρός τοῦ Σκιπούαρ τὸν πόδα πληγεὶς αὐτοῦ ἔμεινε. καὶ αὐτὸς δὲ Σκιπούαρ πρός του τῶν διωκόντων πληγεὶς ἔστη, οἵ τε ξὺν Ἀσβάδῳ πεποιημένοι τὴν δίωξιν, τέτταρες ὄντες, ὅπως αὐτὸν διασώσοιντο, οὐκέτι ἐδίωκον, ἀλλὰ ξὺν αὐτῷ ὀπίσω ἀνέστρεφον. οἱ δὲ Τωτίλᾳ ἑπισπόμενοι, διώκειν σφᾶς ἔτι τοὺς

1. ξυνεσκότασε *P* 2. τουττίλαν *CWv* τουτίλλαν *fL, H* 3. ὥσπερ *Wf (corr.)* σκεποῦαρ *C* 4. τουττίλας *CWv* τουτίλλας *f* 5. γήπεδα *CWv* τουττίλα *CWv* τουτίλλα *fL, H* 7. τουττίλα *CWv* τουτίλλα *fL, H* φεύγοντες *Wvf (corr.)* 10. τουττίλαν *CWv* τουτίλλαν *fL, H* σκιποῦαρ *C* 11. σκιποῦαρ *C* 12. διωκώντων *W* εἴ τε *W* εἴτε *f (corr.)* 14. τῶ τουττίλα *Cv* τῶττουττίλα *W* τουτίλλα *fL, H* ἐπισπώμενοι *Wv* ἐπὶ *per* ἔτι *W f (corr.) L*

Così ebbe fine la pugna, quando già era affatto notte. Totila che fuggiva fra le tenebre con non più che cinque uomini, un dei quali Scipuar, era inseguito da alcuni Romani, i quali ignoravano ch' ei fosse Totila; fra questi trovavasi il gepido Asbade, il quale giunto a Totila dappresso, faceaglisi sopra con la lancia per colpirlo alle spalle, quando un giovanetto goto della casa di Totila, che seguiva il suo padrone fuggiasco, indignato per tal fatto, gridò: « E come, o cane, ti avventi tu così a ferire il tuo « signore ? » Ma Asbade spinse con tutta forza la lancia contro Totila; egli stesso però ferito al piede da Scipuar rimase colà, ed alla sua volta anche Scipuar ferito dagli inseguitori si rimase. Quelli poi che insiem con Asbade avean inseguito, ed eran quattro, per salvar costui cessarono dall' inseguire e con lui tornaron addietro. Quei che accompagnavan Totila, credendo di essere ancora

πολεμίους οἰόμενοι, οὐδέν τι ἧσσον προσήλαυνον, καίπερ αὐτὸν καιρίαν πληγέντα καὶ λειποψυχοῦντα βεβαιότατα ἐπαγόμενοι, πρυτανευούσης αὐτοῖς τῆς ἀνάγκης τὸν βίαιον δρόμον. σταδίους δὲ ἀνύσαντες τέσσαράς τε καὶ ὀγδοήκοντα ἐς χωρίον ἀφίκοντο Κάπρας ὄνομα. οὗ δὴ τὸ λοιπὸν ἡσυχάζοντες Τωτίλα τὴν πληγὴν ἐθεράπευον, ὅσπερ οὐ πολλῷ ὕστερον 5 τὸν βίον ἐξεμέτρησεν. ἐνταῦθά τε αὐτὸν οἱ ἐπισπόμενοι κρύψαντες τῇ γῇ ἀνεχώρησαν. αὕτη γέγονε Τωτίλᾳ τῆς τε ἀρχῆς καὶ τοῦ βίου καταστροφή, ἔτη ἕνδεκα Γότθων ἄρξαντι, οὐκ ἐπαξίως ἐπιγενομένη τῶν ἔμπροσθεν αὐτῷ πεπραγμένων, ἐπεὶ καὶ τὰ πράγματα πρότερον τῷ ἀνθρώπῳ ἐχώρησε, καὶ τοῖς ἔργοις οὐ κατὰ λόγον ἡ τελευτὴ ἐπεγένετο. 10 ἀλλὰ καὶ νῦν ἡ τύχη ὡραϊζομένη τε διαφανῶς καὶ διασύρουσα τὰ ἀνθρώπεια τό τε παράλογον τὸ αὐτῆς ἴδιον καὶ τὸ τοῦ βουλήματος ἀπροφάσιστον ἐπιδέδεικται, Τωτίλᾳ μὲν τὴν εὐδαιμονίαν ἐξ αἰτίας οὐδεμιᾶς ἐπὶ χρόνου μῆκος αὐτοματίσασα, δειλὴν δὲ οὕτω τῷ ἀνθρώπῳ [H 371, B 626]

2. βεβαιότατα] *C W v f; om. le edd.* 3. αὐτῆς *W v f* 5. τουτίλλα *C W f L, H* τουττίλα *v* 7. τουττίλα *C W v* τουτίλλα *f L, H* 10. λόγου *P* 10–11. ἐπιγένετο *W* 11. ὡραιζομένους *W v f (corr.)* διαφανῶς] *C v* διαφανοὺς *W* διαφανὲς *gli altri codd. e le edd.* 13. ἀποβάσιστον *W v (corr.) f (id.)* τουττίλα *C v* τουττῖλα *W* τουτίλλα *f L, H* 14. αὐτοματήσασα *C W v f* δειλίαν *C W v f L, H*

inseguiti dai nemici, non cessavano di correre innanzi, pur trasportando fermamente lui, ferito a morte ed agonizzante, dacchè la necessità li dominava costringendoli a corsa forzata. Percorsi ottantaquattro stadi giunsero ad una località chiamata Capre; ivi posarono, e curaron la ferita di Totila, il quale poco dopo uscì di vita; ed il suo seguito, colà sotterratolo, sen partì. Tal fine ebbe il principato e la vita di Totila dopo undici anni di regno sui Goti; fine non degna degli atti suoi passati, poichè, mentre prima ben riuscivano a lui le sue imprese, alle sue gesta non fu proporzionata la sua morte. Ma anche allora la sorte brillando manifesta e facendosi giuoco dei fatti umani, diede a divedere la stranezza della sua natura e la irrazionalità dei suoi decreti; dacchè, dopo aver senza alcun motivo di suo arbitrio prodigato a Totila la felicità, capricciosamente poi, senza che se ne veda il perchè, fece colui morire così miserabilmente. Ma son

καταστροφὴν ἀπαυθαδισαμένη ἐξ οὐ προσηκόντων ἐν τῷ παρόντι. ἀλλὰ
ταῦτα μὲν ἀνθρώπῳ, οἶμαι, καταληπτὰ οὔτε γέγονε πώποτε οὔτε μή-
ποτε ὕστερον ἔσται· λέγεται δὲ ἀεὶ καὶ δοξάζεται διαψιθυριζόμενα ἐς
τὸν πάντα αἰῶνα, ὥσπερ ἑκάστῳ φίλον, λόγῳ τῷ εἰκότι δοκοῦντι εἶναι
5 παρηγοροῦντι τὴν ἄγνοιαν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.
Τωτίλαν γοῦν Ῥωμαῖοι οὕτως ἐξ ἀνθρώπων ἀφανισθῆναι οὐκ P 657
ἔγνωσαν, ἕως αὐτοῖς γυνὴ μία, Γότθα γένος, ἔφρασέ τε καὶ τὸν τάφον
ἐπέδειξεν. οἵ τε ἀκηκοότες, οὐχ ὑγιᾶ τὸν λόγον εἶναι οἰόμενοι ἐν τῷ
χωρίῳ ἐγένοντο, καὶ τὴν θήκην ὀκνήσει οὐδεμιᾷ διορύξαντες ἐξήνεγκαν
10 μὲν Τωτίλαν ἐνθένδε νεκρὸν, ἐπιγνόντες δὲ αὐτὸν, ὥς φασι, καὶ τούτου
δὴ τοῦ θεάματος ἐμπλησάμενοι τὴν σφετέραν ἐπιθυμίαν αὖθις αὐτὸν
τῇ γῇ ἔκρυψαν, ἔς τε Ναρσῆν τὸν πάντα αὐτίκα ἀνήνεγκαν λόγον.
τινὲς δὲ οὐχ οὕτω τά γε κατὰ Τωτίλαν καὶ τήνδε τὴν μάχην ξυμβῆναι,
ἀλλὰ τρόπῳ τῳ ἑτέρῳ φασίν· ὅνπερ μοι ἀναγράψασθαι οὔ τοι ἀπὸ
15 τρόπου ἔδοξεν εἶναι. λέγουσι γὰρ οὐκ ἀπροφάσιστον οὐδὲ παράλογον

1. καὶ καταστροφὴν *CWvf* ἀπαυθαδησαμένη *Wvf* 3. αἴστε *(sic) Wv* δοξάζηται *Wf (corr.)* 4. ὥς πη *Cv* εἰκόντι *W* 6. τουττίλαν *CWv* τουτίλλαν *fL, H* γὰρ *per* γοῦν *CWvf (corr.) L, H (id.)* οὕτω *Wvf, P* 8. ἐπέδιξεν *v* 10. τὸν τουττίλαν *C* τουττίλαν *Wv* τουτίλλαν *fL, H* 11. αὐτὸς *W* 12. αὐτίκα *dopo* ναρσῆν *C* λόγον *dopo* πάντα *CWvf (corr. in marg.)* 13. τουττίλαν *CWv* τουτίλλαν *fL, H* 14. ἀπὸ] *Wf* ἄπο *gli altri codd. e le edd.*

cose queste che l' uomo mai non potè, nè mai potrà intendere; eppur se ne parla, se ne discorre e si van ventilando in sempiterno, siccome a ciascuno aggrada confortare la propria ignoranza con parvenze di probabili ragioni. Io però torno al mio proposito.

Che Totila così fosse estinto, ignoraronlo i Romani, finchè una donna gota lo disse loro, mostrandone anche il sepolcro. All' udir ciò, essi non credendo che la cosa fosse vera, recaronsi sul posto, e presto scavato il luogo della sepoltura, estrasser di là il cadavere di Totila, ed avendolo, come dicesi, riconosciuto e saziatisi di quello spettacolo, di nuovo lo sotterrarono, ed ogni cosa riferirono a Narsete. V' ha però chi dice che la battaglia e la fine di Totila non andasser così, ma in altro modo, che non credo inopportuno qui riferire. Dicono adunque che l' esercito

τὴν ὑπαγωγὴν ξυνενεχθῆναι τῷ Γότθων στρατῷ, ἀλλὰ Ῥωμαίων ἀκρο-
βολιζομένων τινῶν βέλος ἐκ τοξεύματος τῷ Τωτίλᾳ ἐξαπιναίως ἐπιπεσεῖν,
V 242 οὐκ ἐκ προνοίας τοῦ πέμψαντος· ἐπεὶ Τωτίλας ἐν στρατιώτου λόγῳ
ὡπλισμένος τε καὶ παρατεταγμένος ὅπου δὴ τῆς φάλαγγος ἀπημελη-
μένως εἱστήκει, οὐ βουλόμενος τοῖς πολεμίοις ἔνδηλος εἶναι, οὐδέ πη 5
B 627 αὐτὸν ἐς ἐπιβουλὴν παρεχόμενος, ἀλλὰ τύχης ταῦτα σκευωρουμένης
τινὸς καὶ ἰθυνάσης ἐπὶ τὸ τοῦ ἀνθρώπου σῶμα τὸν ἄτρακτον· καὶ
αὐτὸν μὲν καιρίαν βληθέντα, ὡς ἔνι μάλιστα, περιώδυνον γεγενημένον
ἔξω γενέσθαι τῆς φάλαγγος ξύν τε ὀλίγοις κατὰ βραχὺ ὀπίσω ἰέναι.
καὶ μέχρι μὲν ἐς Κάπρας ἀντέχοντα τῇ ταλαιπωρίᾳ τὸν ἵππον ἐλᾶν, 10
ἐνταῦθα δὲ λειποψυχήσαντα τὸ λοιπὸν μεῖναι τὴν πληγὴν θεραπεύσοντα,
οὐ πολλῷ τε ὕστερον αὐτῷ ἐπιγενέσθαι τὴν τέλειον ἡμέραν τοῦ βίου.
τὴν δὲ Γότθων στρατιὰν οὔτε ἄλλως ἀξιόμαχον τοῖς ἐναντίοις οὖσαν,

1-2. ἀκροβολιζομένον *Wv* 2. τουττίλα *CWv* τουτίλλᾳ *fL, H* 3. ἐπὶ *Wv* τουττίλας *Cv* τουττῖλας *W* τουτίλλας *fL, H* στρατιώτου] *C* στρατιῶτον *(sic)* *Wv* στρατιωτῶν *gli altri codd. e le edd.* 4. ὁπλισμ. *W* 4-5. ἀπημελημένος *C* *Wvf (corr.)* 6. αὐτὸν *CWvf (corr.)* τύχης] *v* τῆς τύχης *gli altri codd. e le edd.* τοῦτο ταῦτα *CWv* (τοῦτος) *f* 7. τῷ *per* τὸ *Wv* 8. περιώδινον *W* 9. φάλαγκος *Wv* ξύνεται *per* ξύν τε *Wvf (corr.)* 10. ἀντέχοντα τῇ ταλαιπωρίᾳ] *CWv*; *om. gli altri codd. e le edd.* ἐλὰν *W* 11. λειποψυχήσαντα - μεῖναι] *C* ἀντέχοντα τῇ ταλαιπωρίᾳ λειποψυχήσ. τὸ λοιπὸν εἶναι *W* (ταλαιπορίᾳ) *v (id.) f* οὐκ ἀντ. τῇ τ. λ. τὸ λ. εἶναι *L, le edd.* θεραπεύσοντα] *C* θεραπεύσοντι *L* θεραπεύσαντι *gli altri codd. e le edd.* 12. ὕστερον τὴν τέλειον ἡμέραν αὐτῷ ἐπιγενέσθαι τοῦ βίου *C (corr.)*

dei Goti non si volgesse in fuga così senza motivo e alla cieca, ma che in una scaramuccia mossa da un drappello di Romani, un dardo colse improvvisamente Totila, senza che a ciò pensasse chi lo scagliava; poichè Totila si teneva in un punto qualunque delle file armato e disposto come un comun soldato, non volendo dar nell' occhio ai nemici nè esporsi a speciale assalto; ma per opera del caso quel dardo fu rivolto contro la persona di lui. Ed ei, ferito a morte e preso da acuto dolore, uscì con pochi altri di mezzo alle file e pian piano ritirossi indietro. A cavallo egli arrivò, resistendo al dolore, fino a Capre, ove venuto meno si fermò a curare la sua ferita. Ma poco dopo giunse per lui l' ora suprema. L' esercito goto, che già non era tale da tener fronte

ἀλλὰ καὶ ἀπομάχου σφίσι παρὰ δόξαν γεγενημένου τοῦ ἄρχοντος, ἐν θάμβει γενέσθαι, εἰ μόνος αὐτὸς οὐκ ἐξ ἐπιβουλῆς τῶν πολεμίων ὁ Τωτίλας καιρίαν βληθείη, καὶ ἀπ' αὐτοῦ περιφόβους τε καὶ ἀθύμους γεγενημένους ἔς τε ὀρρωδίαν ὅρον οὐκ ἔχουσαν καὶ ὑπαγωγὴν οὕτως αἰσχρὰν
5 ἐμπεπτωκέναι. ἀλλὰ περὶ μὲν τούτων λεγέτω ἕκαστος ὅπη γινώσκει.

λγ'. Ναρσῆς δὲ περιχαρὴς τοῖς συμπεπτωκόσι γενόμενος ἐπαναφέρων οὐκ ἀνίει ἐς τὸν θεὸν ἅπαντα, ὅπερ καὶ ὁ ἀληθὴς λόγος ἐγίνετο, τά τε ἐν ποσὶ διῳκεῖτο. καὶ πρῶτα μὲν τῶν οἱ ἐπισπομένων P 658 Λαγγοβάρδων ἀπαλλαξείων τῆς ἀτοπίας (οἵ γε πρὸς τῇ ἄλλῃ ἐς τὴν
10 δίαιταν παρανομίᾳ τάς τε οἰκοδομίας, αἷς ἂν ἐντύχοιεν, ἐνεπίμπρασαν καὶ γυναιξὶ ταῖς εἰς τὰ ἱερὰ καταφευγούσαις βιαζόμενοι ἐπλησίαζον) B 628 χρήμασι μεγάλοις αὐτοὺς δεξιωσάμενος ἐς τὰ πάτρια ἤθη ἀφῆκεν ἰέναι, Βαλεριανόν τε καὶ Δαμιανὸν, τὸν αὐτοῦ ἀδελφιδοῦν, ξὺν τοῖς ἑπομένοις

1. *Innanzi a* τοῦ *segno di lacuna in L* 2. αὐτοῖς *Cv* αὐτῆς *Wf, Reg., H (corr. in marg.)* 3. τουττίλας *Cv* τουττῖλας *W* τουτίλλας *fL, H* 4. οὕτω *Wvf, HP* 5. ἐμπεπτωκέναι (-έναι *in rasura*) *W* γινώσκει] *C* γενέσθαι *Wvf* αὐτῷ φίλον ἔσται *f (marg.) L, le edd.* 6. ξυμπεπτ. *v* 7. ἅπαντι *Wv* 8. ἐκ *per* ἐν *f (corr.)* 9. λαγγουβάρδων *C Wv* ἀπαλλαξείων] *C* ἀλλάξας *L* ἀλλαξείων *gli altri codd. e le edd.* τῆς ἀτοπίας] *CfL, HP* τῆς ἀτοπείας *Wv* τὰς ἀτοπίας *Scalig., B* 10. ἐνεπίπρασαν *W, HP* ἐνεπίμπρασεν *vf (corr.)*

ai nemici, visto il loro re messo fuori di combattimento, rimase sbigottito perchè appunto Totila, ed egli solo, venisse ferito a morte senza neppur che i nemici avesser lui attaccato; e quindi atterriti e scoraggiati vennero in tanto smodato spavento e diedersi a così vergognosa fuga. Ma di tali cose ragioni ciascuno secondo suo giudizio.

XXXIII. Narsete, esultante per l' avvenuto, non cessava di tutto riferire a Dio, come infatti era vero, e dava ordine alle cose più urgenti. In primo luogo volle redimersi dalla brutta licenza dei Longobardi, suoi seguaci, i quali oltre alle altre indegnità del viver loro, incendiavano quanti edifizi incontrassero e facean violenza alle donne che si erano rifugiate nei templi. Fatto loro dono di gran somma di danaro, li rimandò alla patria loro sede, commettendo a Valeriano ed al suo nepote Damiano col loro se-

ἐξηγεῖσθαι τῆς ὁδοῦ ἄχρι ἐς τὰ Ῥωμαίων ὅρια σφίσι κελεύσας, ὅπως μηδενὶ ἐν τῇ ἀποπορείᾳ λυμήνωνται. ἐπειδὴ δὲ Λαγγοβάρδαι ἀπηλλάγησαν ἐκ Ῥωμαίων τῆς γῆς, Βαλεριανὸς ἐστρατοπεδεύσατο ἀμφὶ πόλιν Βερώναν, ὡς πολιορκήσων τε καὶ παραστησόμενος αὐτὴν βασιλεῖ. δείσαντές τε οἱ τὸ φυλακτήριον ταύτῃ ἔχοντες Βαλεριανῷ ἐς λόγους ἦλθον, 5 ὡς σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ὁμολογίᾳ ἐνδώσοντες. ἃ δὴ Φράγγοι μαθόντες, ὅσοι φρουρὰν ἐς τὰ ἐπὶ Βενετίας χωρία εἶχον, διεκώλυον προθυμίᾳ τῇ πάσῃ τῆς χώρας, ἅτε αὐτοῖς προσηκούσης, ἀξιοῦντες μεταποιεῖσθαι. καὶ ἀπ' αὐτοῦ ἄπρακτος ἐνθένδε παντὶ τῷ στρατεύματι Βαλεριανὸς ἀνεχώρησε. Γότθοι δὲ, ὅσοι ἀποφυγόντες ἐκ τῆς ξυμβολῆς 10 διεσώθησαν, διαβάντες ποταμὸν Πάδον, πόλιν τε Τίκινον καὶ τὰ ἐκείνῃ χωρία ἔσχον, ἄρχοντά τε τὸν Τεΐαν κατεστήσαντο σφίσιν. ὃς δὴ τὰ χρήματα εὑρὼν ἅπαντα, ὅσα Τωτίλας ἔτυχεν ἐν Τικίνῳ καταθέμενος, Φράγγους ἐς ξυμμαχίαν ἐπαγαγέσθαι διενοεῖτο. Γότθους δὲ ὡς ἐκ

2. ἀπ[ο]ορία C ἀποριᾳ *WvL* ἀπ[ο]ορ[ε]ία *f* λυμίνωνται *C* λυμήνοντα *Wvf (corr.)* 3. βαλλεριανὸς *C* 4. Βερώναν] *B* βερόναν *i codd., HP* 7. ὅτι *per* ὅσοι *f* φρουρῖαν *Wv (corr.)* βενετίαν *f (corr.)* 8. τῇ *om. C* 8-9. μεταποιῆσθαι *W* 10. ἐχώρησε *D* ξυμβουλῆς *Wv* 11. Τίκινον] *PB* πιγκηνῶν *MCDmf, H* τῇ κηνῶν *WL* (τικῖνον *in marg.*) τηκηνῶν *v* (τικῖνον *in marg.*) πικηνῶν *f (marg.), Reg.* 13. τόττιλας *W* τοττίλας *v* τωτίλλας *L* Τικίνῳ] *L (marg.), PB* πιγκηνῷ *MCDmf, H* τῇ κηνῶν *WL* τηκηνῶν *v* καταθέμενως *(sic) Wv* 14. φάγγους *D* διῆν. εῖτο *W* διεσκοπεῖτο *f (marg.), Reg.* τε *per* δὲ *WvL*

guito di accompagnarli per la via fino al confine romano, perchè lungo il cammino non avessero a far male ad alcuno. Usciti poi che furono i Longobardi dal suolo romano, Valeriano andò ad accamparsi sotto Verona per assediarla e conquistarla all'imperatore. Impauriti quei del presidio, vennero a trattative con Valeriano per arrendersi insieme colla città; ma i Franchi, che stavano a presidio nella Venezia, udito ciò, si opposero con grande impegno, reclamando quel paese come di lor proprietà. Quindi, senza aver nulla concluso Valeriano sen partì di là con tutto l'esercito. Tutti quei Goti poi che eransi messi in salvo dopo la battaglia, passato il Po, occuparono la città di Ticino ed i paesi circonvicini, e nominarono loro re Teia. Questi, avendo ritrovato tutto il danaro che Totila avea depositato in Ticino, pensava a procacciarsi l'alleanza dei Franchi. Raccolti poi prestamente attorno

τῶν παρόντων διεῖπέ τε καὶ διεκόσμει, ξυλλέγων σπουδῇ ἀμφ' αὐτὸν ἅπαντας. ταῦτα ὁ Ναρσῆς ἀκούσας Βαλεριανὸν μὲν ἐκέλευσε πᾶσι τοῖς ἑπομένοις ἀμφὶ Πάδον ποταμὸν φυλακὴν ἔχειν, ὅπως μὴ Γότθοι ἀδεέστερον ξυστήσεσθαι δυνατοὶ εἶεν, αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ ἐπὶ Ῥώμην ᾔει. ἐν Τούσκοις τε γενόμενος Ναρνίαν μὲν ὁμολογίᾳ εἷλε, καὶ Σπολιτινοῖς ἀτειχίστοις οὖσι φρουρὰν ἔλιπεν, ἀνοικοδομήσασθαι ὅτι τάχιστα ἐπιστείλας ὅσα τοῦ περιβόλου καθελόντες ἐτύγχανον Γότθοι. ἔπεμψε δὲ καί τινας ἀποπειρασομένους τοῦ ἐν Περυσίᾳ φυλακτηρίου. ἡγοῦντο δὲ τῶν ἐν Περυσίᾳ φρουρῶν αὐτόμολοι γεγονότες Ῥωμαῖοι δύο, Μελιγίδιός τε καὶ Οὔλιφος, ὅσπερ Κυπριανοῦ δορυφόρος γεγονὼς πρότερον, Τωτίλᾳ πολλά οἱ ἐπαγγειλαμένῳ ἀναπεισθεὶς Κυπριανὸν τότε ἄρχοντα τοῦ ἐνταῦθα φυλακτηρίου δόλῳ ἔκτεινεν. ὁ μὲν οὖν Μελιγίδιος λόγους τοῦ Ναρσοῦ ἐνδεξάμενος ἐβουλεύετο ξὺν τοῖς οἱ ἑπομέ-

B 629 · H 372 · V 243

1. συλλέγων *WvL* ἐν σπουδῇ *WvL, H* 2. ὁ *om. WvL* βαλεριανὸς *mf (corr.)* ἐκέλευε *WL* ἐκέλεβε *v* 3. πολεμίοις *per* ἑπομένοις *Wf (marg.) L* γότθων *Wvf (marg.) L* 5. Ναρνίαν] *Wvf (marg.) L* τὴν ναρνίαν *gli altri codd.* (τ. ἀρνίαν *D) e le edd.* ὁμολογίαν *D* 6. σπόλτην · οἷς *Wv* σπόλιταν οἷς *L* ἔλυπεν *Wv* ἔλειπεν *L* 7. ἔτυχον *C* 8. ἐποπειρασσομένους *W* περυσία (δί) *D* 9. δὲ καὶ τῶν *WvL* περυδία *D* περσία *W* 9-10. γεγ. ἐκ ῥωμαίων - οὔλιφος *f (marg.)* 9. ἐκ ῥωμαίων *Wv, Reg.* 10. Μελιγίδιός] *WvL* μελιγήδιός *gli altri codd. e le edd.* οὔλιθος *MCDmf, H* δορυφόροις *Wv* 11. τουττίλα *Wv* οἱ *om. D* 12-13. Μελιγίδιος] *WvL* μελιγήδιος *gli altri codd. e le edd.* 13. οἱ *om. D*

a sè tutti i Goti, li fornì e li ordinò come allora poteva. Informato di ciò Narsete, ordinò a Valeriano di far buona guardia con tutti i suoi sul Po, affinchè i Goti non avesser troppa libertà di riunirsi, ed egli con tutto il restante esercito mosse verso Roma. Arrivato in Toscana prese Narni per capitolazione ed a quei di Spoleto che erano sprovvisti di mura lasciò un presidio con ordine di riedificare al più presto tutte le parti della cinta che i Goti avean distrutte. Mandò anche una schiera a tentare la resa del presidio di Perugia, di cui stavano a capo due disertori romani, Meligidio e Ulifo, il quale mentre era lancia spezzata di Cipriano erasi lasciato indurre, dietro larghe promesse di Totila, ad uccidere dolosamente Cipriano, che allora comandava quella guarnigione. Meligidio, accettando la proposta di Narsete, voleva

νοις Ῥωμαίοις τὴν πόλιν ἐνδοῦναι. οἱ δὲ ἀμφὶ τὸν Οὔλιφον τῶν πρασσομένων αἰσθόμενοι ξυνίσταντο ἐπ' αὐτοὺς ἐκ τοῦ ἐμφανοῦς. καὶ Οὔλιφος μὲν ξὺν τοῖς οἱ ὁμογνωμονοῦσιν αὐτοῦ διεφθάρη, Μελιγίδιος δὲ παρέδωκε Περυσίαν Ῥωμαίοις αὐτίκα. τῷ μέντοι Οὐλίφῳ ξυνέβη τις τίσις ἐκ τοῦ θεοῦ δηλονότι ἐπιπεσοῦσα, ἐν αὐτῷ μάλιστα διεφθάρθαι τῷ χώρῳ, ἵνα (5) δὴ αὐτὸς τὸν Κυπριανὸν διεχρήσατο. ταῦτα μὲν δὴ οὕτω κεχώρηκε.

(P 659) Γότθοι δὲ οἱ ἐν Ῥώμῃ φυλακὴν ἔχοντες ἐπειδὴ Ναρσῆν τε καὶ τὸν (B 630) Ῥωμαίων στρατὸν ἐπὶ σφᾶς ἰόντας ἄγχιστά πη ἐπύθοντο εἶναι, παρεσκευάζοντο ὡς τὰ δυνατὰ σφίσιν ὑπαντιάσοντες. ἐτύγχανε δὲ Τωτίλας πολλὰς μὲν ἐμπρησάμενος τῆς πόλεως οἰκοδομίας, ἡνίκα δὴ (10) αὐτὴν τὸ πρῶτον ἐξεῖλεν. ἐν ὑστάτῳ δὲ λογισάμενος, ὡς ἐς ὀλίγους ἀποκεκριμένοι οὐχ οἷοί τέ εἰσι τὸ λοιπὸν Γότθοι ἅπαντα Ῥώμης τὸν περίβολον διαφυλάξαι, τειχίσματι βραχεῖ ὀλίγην τινὰ τῆς πόλεως μοῖραν

1. τὴν πόλιν ῥωμαίοις *Wvf (marg.), H (id.)* ἐνδοῦναι] *i codd.* εὐδοῦναι *HP* ἐκδοῦναι *B* οὔλιϖον *MCDmf (corr. in marg.), H* 2. οὔλιϖος *MCDmf (corr. in marg.), H* 3. οἱ *om. D* Μελιγίδιος] *WvL* μελιγήδιος *gli altri codd. e le edd.* παρέδωκε *om. Wv* 4. οὐλίϖω *MCDmf (corr. in marg.), H* τις *om. MCD m; in parent. f (marg.)* 7. φυλακῆ *W* 8. ῥωμαῖον *W* φᾶς *(sic) m* 8-9. παρασκευάζοιντο *(sic) W* παρασκευάζαντο *v* 9-10. τουττίλας *Wv* 10. πολλὰς *om. MCDmf (agg. in marg.), H (id.)* πολλοῖς *Wv* τὰς τῆς *MCDmf (espunge in marg.)* 11. δὲ *soprascr. di m. rec. v* ἐν ὀλίγοις *Wf (marg.), Reg.* 12-13. Ῥώμης τὸν περίβολον] *Wvf (marg.) L* τ. περ. ῥώμ. *gli altri codd. e le edd.* 13. τηχίσματι *Wv* βραχὺ *DW*

insieme coi suoi arrendere la città ai Romani; Ulifo colla sua gente inteso di che cosa si trattava, misersi in aperta rivolta; ma egli coi suoi partitanti venne ivi trucidato e Meligidio subito arrese Perugia ai Romani. Così fu Ulifo come punito da Dio, rimanendo trucidato in quello stesso luogo ov' egli avea ucciso Cipriano. A tanto ne erano ivi le cose.

I Goti che stavano al presidio di Roma tostochè seppero come Narsete coll' esercito romano marciasse contro di loro, si apprestarono a fare ogni possibile resistenza. Quando Totila prese Roma la prima volta, molti edifizi della città avea incendiato; per ultimo, riflettendo che i Goti, ridotti a pochi, non sarebbero ormai in grado di custodire tutta quanta la cinta di Roma, cinse con una bassa muraglia una piccola parte della città presso al

ἀμφὶ τὸν Ἀδριανοῦ περιβαλὼν τάφον καὶ αὐτὸ τῷ προτέρῳ τείχει ἐνάψας
φρουρίου κατεστήσατο σχῆμα. ἐνταῦθά τε τὰ σφίσιν αὐτοῖς τιμιώτατα
καταθέμενοι Γότθοι ἐς μὲν τὸ ἀκριβὲς τὸ φρούριον τοῦτο ἐφύλασσον,
τὸ δὲ ἄλλο τῆς πόλεως τεῖχος ἀπημελημένον ὑπερεώρων. φρουροὺς
5 τοίνυν σφῶν ἐν τούτῳ τῷ χωρίῳ τηνικάδε ἀπολιπόντες ὀλίγους τινὰς οἱ
λοιποὶ ἅπαντες ἀμφὶ τὰς ἐπάλξεις τοῦ τῆς πόλεως γενόμενοι τείχους
τῶν πολεμίων ἀποπειράσασθαι τειχομαχούντων ἐν σπουδῇ εἶχον. ὅλον
μὲν οὖν τὸν Ῥώμης περίβολον διὰ μεγέθους ὑπερβολὴν οὔτε Ῥωμαῖοι
ἐπιόντες περιβάλλεσθαι εἶχον οὔτε Γότθοι φρουρεῖν. διασκεδαννύμενοι
10 δὲ οἱ μὲν ὅπη παρατύχοι προσέβαλλον, οἱ δὲ ὡς ἐκ τῶν παρόντων
ἠμύνοντο. καὶ Ναρσῆς μὲν τοξοτῶν ἐπαγόμενος μέγα τι χρῆμα ἐς
μοῖράν τινα τοῦ περιβόλου ἐπέσκηπτεν, ἑτέρωθι δὲ Ἰωάννης ὁ Βιτα-
λιανοῦ ξὺν τοῖς οἱ ἑπομένοις προσέβαλλε. Φιλιμοὺθ δὲ καὶ οἱ Ἔρουλοι

1. ἀνδριανοῦ *D W* τάφιν *W* αὐτῶ *W v* ἀνάψας *W v f (marg.), Reg.*
2. τὰ *om. W* σφίσι *D* τιμιότατα *W v* 3. ταῦτε *(sic) W* 4. ἄλλον *D*
5. φρουρίῳ *per* χωρίῳ *M C D m f (corr. in marg.), H* *Le parole* ὀλίγους τινὰς
om. M C D m f (agg. in marg.) 6. τεῖχος *D* 7. ἀποπειράσαντες *W v f (marg.)*
L, H 9. περιβαλλέσθαι *M C D m f* διασκεδανυμ. *W v* 10. προσέβαλλον *L*
11. ἐπαγαγόμενος *v* ἐς *om. W v* 12. ἐπέσκηπτε *D* δὲ *om. D* 12–13. βι-
ταλιὰν *W* 13. οἱ *om. D* προσέβαλε *W v L* Φιλιμοὺθ] *M C W v m f* φιλη-
μοὺθ *gli altri codd. e le edd.* ἔρουλλοι *M W v m f*

sepolcro di Adriano, e congiuntala colle mura già esistenti formò
una specie di castello. I Goti, deposto colà quanto avean di
più prezioso, custodivan quel forte diligentemente, trasandando le
restanti mura della città. Allora però, lasciati alcuni pochi a
guardia in quel luogo, tutti gli altri, recatisi sui merli delle mura,
con molto impegno si diedero a respingere l' assalto dei nemici.
Ma tutta intiera la cinta di Roma, per la grande sua estensione,
non furono in grado nè i Romani di circondare, assaltandola, nè
i Goti di custodire. Quindi sparpagliatamente gli uni davan
l' attacco qua e là come capitava, gli altri andavano alla difesa,
come il momento lo richiedeva. Narsete, menando seco gran-
dissimo numero di arcieri, dava l' assalto ad una parte delle mura;
altra parte era investita da Giovanni, nepote di Vitaliano, coi
suoi; Filimuth e gli Eruli molestavauo una terza parte seguiti

κατ' ἄλλο τι μέρος ἠνώχλουν, ἑκαστάτω τε αὐτῶν οἱ λοιποὶ εἵποντο.
B 631 ἐτειχομάχουν δὲ ἅπαντες ὡς ἀπωτάτω ἀλλήλων ὄντες. καὶ κατ' αὐτοὺς
οἱ βάρβαροι ξυνιστάμενοι ἐδέχοντο τὴν ἐπίθεσιν. τὰ μέντοι ἄλλα τοῦ
περιβόλου, ἵνα δὴ Ῥωμαίων οὐκ ἐγένετο προσβολή, ἀνδρῶν ἔρημα παν-
τάπασιν ἦν, Γότθων ἁπάντων, ὅπῃ ἂν οἱ πολέμιοι ἐπισκήψαιεν, ἀγειρο- 5
μένων, ᾗπέρ μοι εἴρηται. ἐν τούτῳ δὲ γνώμῃ Ναρσοῦ ὁ Δαγισθαῖος
στρατιώτας τε παμπληθεῖς ἔχων καὶ τό τε Ναρσοῦ καὶ τὸ Ἰωάννου
σημεῖον καὶ κλίμακας πολλὰς ἐπαγόμενος μοίρᾳ τινὶ τοῦ περιβόλου
ἐξαπιναίως ἐπέσκηψε, φρουρῶν τὸ παράπαν ἐρήμῳ οὔσῃ. τάς τε κλί-
μακας εὐθὺς ἁπάσας οὐδενὸς ἀμυνομένου τῷ τείχει ἐρείσας οὐδενὶ πόνῳ 10
ξὺν τοῖς ἑπομένοις ἐντὸς τοῦ περιβόλου ἐγένοντο, τάς τε πύλας κατ'
ἐξουσίαν ἀνέῳγον. ὧνπερ αὐτίκα Γότθοι αἰσθόμενοι οὐκέτι ἐς ἀλκὴν
ἔβλεπον, ἀλλ' ἔφευγον ἅπαντες ὅπῃ αὐτῶν ἑκάστῳ δυνατὰ ἐγεγόνει.
καὶ οἱ μὲν εἰς τὸ φρούριον εἰσεπήδησαν, οἱ δὲ δὴ ἐς τὸν Πόρτον ἐχώρησαν

1. ἄλλος *D* τι *om. MCDmf (agg. in marg.)* ἑκάστω *D* ἑκάστοις *Wv f (marg.), Reg.* αὐτὸν *W* 2. ἐτυχομάχ. *Wv* τε *per* δὲ *WvL* ἀποτάτω *D W; om. L* κατ' *soprascr. di m. rec. D* 5. διασκήψ. *MCmf (corr. in marg.), H* διασκήψαι ἐναγειρ. *D* 6. εἴπερ *W* μοι *om. L* γνώμην *D* 7. *Il primo* τε *agg. di m. rec. in v* τὸν *per* τό *D* καὶ *dopo* Ναρσοῦ *om. Wv* τόν τε *per* τὸ *D* τότε *C* τό τε *Wv* 9. φρουρᾶς *MCDm f (corr. in marg.), P* οὔσσῃ *Wv* 10. ἐρήσας *MDm f (corr.)* πόνῳ οὐδενὶ *MCDWvmL* 11. ἐγένοντο] *Wv f (marg.) L* ἐγένετο *gli altri codd. e le edd.* 12. ἀνέῳγον] *i codd.* ἀνέῳγεν *le edd.* 13. ὅποι *WvL* 14. ἐς *Wv* ἐπεπήδησαν *Wvf (marg.), Reg.* πόντον *W*

dagli altri a grande distanza, e tutti nell' assaltar le mura trova-
vansi molto distanti gli uni dagli altri. A tutti costoro i barbari
opponeansi tenendo fronte all' assalto, mentre tutte le altre parti
della cinta non assalite dai Romani rimaneano affatto deserte,
dacchè i Goti, come dissi, tutti colà raccoglieansi ove i nemici
davan l' assalto. Intanto per comando di Narsete, Dagistheo con
grande numero di soldati, recando il vessillo di Narsete e quel
di Giovanni e molte scale, assalì improvvisamente una parte della
cinta ch' era affatto sprovvista di guardie; appoggiate subito,
senza alcuna opposizione, tutte le scale al muro, facilmente coi
suoi entrò dentro la cinta ed a suo talento aprì le porte. Visto
ciò i Goti, perduto ogni coraggio, diedersi tutti a fuggire dove
ciascuno potè; quali gittaronsi dentro il castello, quali presero la

δρόμῳ. ἐνταῦθά μοι τοῦ λόγου ἔννοια γέγονεν ὅντινα ἡ τύχη διαχλευάζει
τὰ ἀνθρώπεια τρόπον, οὐκ ἀεὶ κατὰ ταὐτὰ παρὰ τοὺς ἀνθρώπους ἰοῦσα
οὐδὲ ἴσοις αὐτοὺς ὀφθαλμοῖς βλέπουσα, ἀλλὰ ξυμμεταβαλλομένη χρόνῳ
καὶ τόπῳ, καὶ παίζει ἐς αὐτοὺς παιδιάν τινα παρὰ τὸν καιρὸν ἢ τὸν P 660
5 χῶρον ἢ τὸν τρόπον διαλλάσσουσα τὴν τῶν ταλαιπώρων ἀξίαν, εἴ γε
ὁ Ῥώμην μὲν ἀπολωλεκὼς τὰ πρότερα Βέσσας οὐ πολλῷ ὕστερον ἀνεσώσατο Ῥωμαίοις τὴν τῆς Λαζικῆς Πέτραν, ἔμπαλιν δὲ ὁ Δαγισθαῖος B 632
Πέτραν τοῖς πολεμίοις μεθεὶς ἀνεκτήσατο ἐν χρόνῳ ὀλίγῳ βασιλεῖ Ῥώμην. H 373
ἀλλὰ ταῦτα μὲν γέγονέ τε τὸ ἐξ ἀρχῆς καὶ ἀεὶ ἔσται, ἕως ἂν ἡ αὐτὴ
10 τύχη ἀνθρώποις ᾖ. Ναρσῆς δὲ τότε παντὶ τῷ στρατῷ ἐπὶ τὸ φρούριον
πολεμῶν ᾔει. κατορρωδήσαντές τε οἱ βάρβαροι καὶ τὰ πιστὰ ὑπὲρ τῶν
σωμάτων κεκομισμένοι σφᾶς τε αὐτοὺς καὶ τὸ φρούριόν οἱ αὐτίκα δὴ
μάλα παρέδοσαν, ἕκτον τε καὶ εἰκοστὸν ἔτος Ἰουστινιανοῦ βασιλέως

1. διασκευάζει *f (marg.), Reg.* 2. ἀνθρώπινα *L* 3. ξυμμεταβολομένη *D* συμμεταβαλλομένη *WvL* 4. τόπῳ] *le edd.* τρόπῳ *i codd.* παιδείαν *C* πεδίαν *W* 5. τόπον *MCDmf (corr. in marg.), H* διαλλάσσουσαν *D* τῶν *om. MCDmf (agg. in marg.)* ταλαιπωρίαν *MCmf* ταλαιπορίαν *D* ταλαιπωρῶν *f (di sec. m.)* 6. ὁ *om. WvL* ἡμῖν *per* μὲν *Wvf (marg.) L* ἀπωλολεκὼς *D* βέσας *MCD W (corr.) mf* 7. τὴν *om. WvL* τῆς *om. MCDmf, H* λαζικὴν *MCDmf (corr. in marg.), H* 8. προσθεὶς *per* μεθεὶς *WvL* 12. κεκοσμημένοι *Wv* οἱ *om. D*

via di Porto. Ed a questo punto della mia narrazione, mi viene in pensiero come la fortuna si rida delle cose umane, non mai procedendo allo stesso modo verso gli uomini nè guardandoli cogli occhi stessi, ma mutandosi secondo il tempo ed il luogo; e par che si faccia di loro un giuoco nel momento, nella località, nel modo, tramutando la condizione di questi miserelli. Dacchè quel Bessa, che un tempo fu la rovina di Roma, non molto dopo riacquistò pei Romani Petra nella Lazica; e viceversa Dagistheo, che abbandonò Petra ai nemici, riconquistò poi in poco tempo Roma per l' imperatore. Ma tali vicende furon sempre e sempre saranno, finchè egualmente la fortuna dominerà sugli uomini. Allora Narsete con tutto l' esercito andò ad assalire il castello. Ma i barbari, atterriti, avutane parola di aver salva la vita, subito si arresero insieme col castello nell' anno ventesimosesto

τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. οὕτω τε Ῥώμη ἐπὶ τούτου βασι-
V 244 λεύοντος τὸ πέμπτον ἑάλω, ἧσπερ εὐθὺς ὁ Ναρσῆς τῶν πυλῶν τὰς
κλεῖς βασιλεῖ ἔπεμψε.

λδʹ. Τότε δὴ τοῖς ἀνθρώποις διαφανέστατα ἐπιδέδεικται ὡς ἅπασιν,
οἷσπερ ἔδει γενέσθαι κακῶς, καὶ τὰ εὐτυχήματα δοκοῦντα εἶναι εἰς 5
ὄλεθρον ἀποκέκριται, κατὰ νοῦν τε ἀπαλλάξαντες ἴσως τῇ τοιαύτῃ
εὐημερίᾳ ξυνδιαφθείρονται. Ῥωμαίων γὰρ τῇ τε ξυγκλήτῳ βουλῇ καὶ
τῷ δήμῳ τὴν νίκην τήνδε πολλῷ ἔτι μᾶλλον φθόρου αἰτίαν ξυνηνέχθη
γενέσθαι τρόπῳ τοιῷδε. Γότθοι μὲν φεύγοντες καὶ τῆς Ἰταλίας τὴν
ἐπικράτησιν ἀπογνόντες, ὁδοῦ ποιούμενοι πάρεργον, τοὺς παρατυχόντας 10
σφίσι Ῥωμαίους οὐδεμιᾷ διεχρῶντο φειδοῖ. οἱ δὲ βάρβαροι τοῦ Ῥω-
μαίων στρατοῦ ὡς πολεμίοις ἐχρῶντο πᾶσιν, οἷς ἂν ἐντύχοιεν ἐν τῇ

1. αὐτοκράτωρα *D* ἔχοντες *(sic) Wv* ῥώμην *MDmf (corr.)* ῥώμη|||| *C* τοῦ *per* τούτου *L (corr.)* 5. δοκοῦντες *v* 6. ἀπαλλάξοντες *C* ἀπαλάξαντες *W* 7. εὐδρομίᾳ *MCDmf (corr. in marg.), H* συνδιαφθ. *WvL* συγκλήτῳ *DWvL* 8. τῷ *om. D* φθόνόν *Wv* φθόνου *f (marg.), Reg.* φθόνων *L* 9. τοιάδε *D* τὴν *per* τῆς *Wvmf (corr. in marg.)* ἰταλίαν *mf (corr. in marg.)* τὴν *om. MCDmf (agg. poi) L (id.)* 10. ἀπογόντες *v* 11. δὲ ἐχρῶντο *D* τῶν *per* τοῦ *L* 12. χρῶντο *W* πᾶσι *D* ἐντύχοι *D* ἐν] *MCmfL, B; om. gli altri codd., HP*

del regno di Giustiniano. E così per la quinta volta sotto questo principe fu presa Roma, di cui tosto Narsete spedì all' imperatore le chiavi delle porte.

XXXIIII. Allora apparve manifesto come per gli uomini destinati alla sciagura anche quei che paion felici eventi si risolvano in perdizione, e mentre le cose vanno a seconda dei lor desiderî, essi stessi vanno in rovina insieme a questa loro felicità; poichè pel Senato e pel popolo romano questa vittoria non fece che aumentar d' assai la loro rovina, ed ecco come. I Goti, datisi alla fuga e deposto il pensiero del dominio sull' Italia, nell' andar per le vie, quanti Romani incontrassero, senza pietà uccidevano. I barbari poi che erano nell' esercito romano, entrati in città, trattavan da nemici tutti quelli che incontravano. Oltre

ἐς τὴν πόλιν εἰσόδῳ. πρὸς δὲ καὶ τόδε αὐτοῖς ξυνηνέχθη γενέσθαι. πολλοὶ τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς, τοῦτο Τωτίλᾳ δεδογμένον, τὰ πρότερα ἔμενον ἐς τὰ ἐπὶ Καμπανίας χωρία. ὧνπέρ τινες, ἐπεὶ Ῥώμην ἔχεσθαι πρὸς τοῦ βασιλέως στρατοῦ ἔγνωσαν, ἐκ Καμπανίας ἐξαναστάντες ἐς αὐτὴν ᾔεσαν. ὃ δὴ Γότθοι μαθόντες, ὅσοι ἐν τοῖς ταύτῃ ὀχυρώμασιν ἐτύγχανον ὄντες, ἅπαντα διερευνώμενοι τὰ ἐκείνῃ χωρία τοὺς πατρικίους ἅπαντας ἔκτειναν. ἐν τοῖς καὶ Μάξιμος ἦν, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην. ἐτύγχανε δὲ καὶ Τωτίλας, ἡνίκα Ναρσῇ ὑπαντιάσων ἐνθένδε ᾔει, τῶν ἐκ πόλεως ἑκάστης δοκίμων Ῥωμαίων τοὺς παῖδας ἀγείρας καὶ αὐτῶν ἐς τριακοσίους ἀπολεξάμενος, οὕσπερ μάλιστα τὸ σῶμα καλοὺς ᾤετο εἶναι, τοῖς μὲν γειναμένοις ὅτι δὴ αὐτῷ ξυνδιαιτήσονται ὑπειπών, ὁμήρους δέ οἱ λόγῳ τῷ ἀληθεῖ ἐσομένους. καὶ αὐτοὺς Τωτίλας μὲν τότε ὑπὲρ ποταμὸν Πάδον ἐκέλευσεν ἰέναι, Τεΐας δὲ τανῦν ἐνταῦθα εὑρὼν ἅπαντας ἔκτεινε.

Ῥάγναρίς τε, Γότθος ἀνήρ, ὅσπερ ἡγεῖτο τοῦ ἐν Ταραντίνοις

2. συγκλήτου *DWvL* τουττίλα *Wv* 3. ἐς τὰ ἐπὶ] *WvL* ἐπὶ τὰ *gli altri codd.* ἐς τὰ ἐπὶ τῆς *le edd.* τῇ νήσῳ ἐπὶ *per* τινες ἐπεὶ *W* τῇ νήσῳ ἐπεὶ *(corr. da* ἐπὶ*) v* ἐπὶ *D* 5. ᾔεισαν *WvL* 6. διερευνόμενοι *Wv* 7. ἅπαντας *corr. da* ἅπαντες *M* 8. ἐμνῆσθαι *v* τουττίλας *Wv* συνίκα *W* 9. εἴη *Wv* 12. ὁμοίρη *(sic) W* ὁμοίρους *v* 13. τουττίλας *Wv* πάδον ποταμὸν *Wvf (marg.) L* 14. ἰέναι] *f (marg.), PB* εἶναι *i codd., H* ἔκτεινεν *D*

a ciò subirono i Romani anche quest' altro danno. Molti senatori per volere di Totila già prima tenevansi nei paesi della Campania; taluni di questi, saputo che Roma era in mano dell' esercito imperiale, partitisi dalla Campania recaronsi colà. Appreso ciò, i Goti che trovavansi nelle fortezze di quel paese, datisi a cercar dappertutto per quei villaggi, tutti quanti i patrizi uccisero; fra i quali fu anche Massimo, da me nei libri antecedenti ricordato. Anche Totila, quando mosse di là contro Narsete, avea raccolti i figli dei nobili romani di ciascuna città, e trecento ne avea scelti che parvergli più belli della persona dicendo ai genitori ch' ei li terrebbe come suoi familiari, ma in realtà dovean quelli servirgli da ostaggi. Avea Totila allora ordinato che si recassero al di là del Po; e Teia poscia, trovatili colà, tutti li uccise.

Il goto Ragnari che comandava il presidio di Taranto, quan-

φυλακτηρίου, καίπερ τὰ πιστὰ γνώμῃ βασιλέως πρὸς τοῦ Πακουρίου
κεκομισμένος, Ῥωμαίοις τε προσχωρήσειν ὁμολογήσας, ἧπέρ μοι ἔμ-
προσθεν εἴρηται, παρασχόμενος δὲ καὶ Γότθους ἓξ ἐν ὁμήρων λόγῳ
ἐπὶ ταύτῃ δὴ τῇ ὁμολογίᾳ Ῥωμαίοις, ἐπειδὴ Τεΐαν ἤκουσε βασιλέα
καταστάντα Γότθοις, τούς τε Φράγγους ἐς ἐπικουρίαν ἐπαγαγέσθαι 5
καὶ παντὶ τῷ στρατῷ τοῖς πολεμίοις ἐθέλειν ὁμόσε ἰέναι, μεταπορευθεὶς
B 634 τὴν βουλὴν ἐπιτελεῖν τὰ ὡμολογημένα οὐδαμῇ ἤθελε. σφαδάζων δὲ
καὶ διατεινόμενος τοὺς ὁμήρους ἀπολαβεῖν ἐπενόει τάδε. πέμψας παρὰ
τὸν Πακούριον ᾔτει σταλῆναί οἱ τῶν Ῥωμαίων στρατιωτῶν ὀλίγους
τινάς, ἐφ᾽ ᾧ ξὺν τῷ ἀσφαλεῖ ἔς τε τὸν Δρυοῦντα σφίσιν ἰέναι δυνατὰ 10
εἴη ἐνθένδε τε διαπορθμευσαμένοις τὸν Ἰόνιον κόλπον ἐπὶ Βυζαντίου
κομίζεσθαι. ὁ μὲν οὖν Πακούριος μακρὰν ἀπολελειμμένος τῶν τῷ
ἀνθρώπῳ βεβουλευμένων τῶν οἱ ἑπομένων πεντήκοντα στέλλει. ὁ δὲ

1. βακουρίου *MCDWvfL, H* $\overset{β}{κ}$ακουρίου *m* 2. κεκοσμιμένος *Wv* 3. πα-σχόμενος (*sic*) *W* παρασχών τε *MCDmf (corr. in marg.), P* ἓξ *om. MC Dmf (agg. poi)* 4. δὴ *om. mf (agg. in marg.)* ἤκουσεν *D* 5. ἐπηκου-ρίαν *v* 7. τεκεῖν (*sic*) *per* ἐπιτελεῖν *W* τελεῖν *vf (marg.) L* ὁμολογημένα *Dmf* ὡμολογούμενα *Wv* ὁμολογούμενα *f (marg.), H (id.)* σπουδάζων *Wv f (marg.), Reg.* 8. διατεινόμενοι *D* ὁμοίους *Wf (marg.) L* ὁμοίρους *v* τοιάδε *C* 9. βακούριον *MCDWvfL, H* $\overset{β}{κ}$ακούριον *m* ἤτι *W* εἰ *per* οἱ *v* τῶν ὀλίγους *D* 10. δυνοῦντα *W* ὑδροῦντα *f (marg.), Reg.* ἰέναι σφίσι *WvL* 11. καὶ *per* ἐνθένδε τε *MCDmf (corr. in marg.), P* διαπορθμωσαμένους *Wv* βιζαντίους *Wv* βυζαντίους *f (marg.), Reg.* 12. βακούριος *MCDWvmfL, H* 13. βεβουλευμένῳ *D* οἱ *om. D*

tunque per volere dell' imperatore avesse da Pacurio ricevuto la parola sulla sua promessa, come io già sopra narrai, di fare accessione ai Romani, dando anche a colui sei Goti come ostaggi per tal patto, udito ch' ebbe come Teia fosse nominato re dei Goti e, chiamati i Franchi in aiuto, volesse con tutto l' esercito marciare contro i nemici, cambiò parere nè volle più stare alla promessa; e con sotterfugi cercando di riavere gli ostaggi ricorse a questo espediente. Spedì messi a Pacurio pregandolo di mandargli alcuni pochi soldati romani, onde potere così scortati in sicurezza andare ad Otranto e di là, passato il golfo Ionio, recarsi a Bizanzio. Pacurio, lontanissimo dall' immaginare le intenzioni di colui, gli mandò cinquanta dei suoi uomini e quegli, accoltili nel

αὐτοὺς τῷ φρουρίῳ δεξάμενος καθεῖρξεν εὐθύς, τῷ τε Πακουρίῳ ἐσή-
μαινεν ὡς, εἴπερ αὐτῷ τοὺς στρατιώτας βουλομένῳ εἴη τοὺς αὐτοῦ
ῥύεσθαι, ἀποδιδόναι δεήσει τοὺς Γότθων ὁμήρους. ταῦτα ἀκούσας ὁ
Πακούριος ὀλίγους μέν τινας ἐπὶ τῇ τοῦ Δρυοῦντος φυλακῇ εἴασε, παντὶ
5 δὲ τῷ ἄλλῳ στρατεύματι ἐπὶ τοὺς πολεμίους αὐτίκα ᾔει. Ῥάγναρις
δὲ τοὺς μὲν πεντήκοντα μελλήσει οὐδεμιᾷ ἔκτεινεν, ὡς ὑπαντιάσων δὲ
τοῖς πολεμίοις ἐκ τοῦ Τάραντος τοὺς Γότθους ἐξῆγεν. ἐπειδή τε ἀλ-
λήλοις ξυνέμιξαν, ἡσσῶνται Γότθοι. Ῥάγναρίς τε αὐτῶν ἀποβαλὼν
πλείστους ξὺν τοῖς καταλοίποις δρασμῷ εἴχετο. ἐς μέντοι τὸν Τάραντα
10 εἰσελθεῖν οὐδαμῇ ἴσχυσε, πανταχόθεν αὐτὸν περιβεβλημένων Ῥωμαίων,
ἀλλ' ἐς Ἀχεροντίδα ἐλθὼν ἔμεινε. ταύτῃ μὲν οὖν τοιαῦτα ἐγεγόνει.
Ῥωμαῖοι δὲ οὐ πολλῷ ὕστερον τόν τε Πόρτον πολιορκήσαντες ὁμολογίᾳ (V 245)
εἷλον καὶ φρούριον ἐν Τούσκοις, ὃ δὴ Νέπα καλοῦσι, καὶ τὸ ἐν Πέτρᾳ (H 374, B 635)
τῇ Περτούσῃ ὀνομαζομένῃ ὀχύρωμα.

1. αὐτὸς *WvL* τὸ *per il primo* τῷ *W* τῶ το *(sic) per* τῷ τε *v* βα-
κουρίῳ *MCDWvmf* 1-2. ἐσήμενεν *Wv* ἐσήμαινον *f (corr.)* 2. εἴη τῶν
τοὺς *D* (τοῦ) *m* (τῶν *soprascr.) f* (τῶν *cancell.)* αὐτοῦ *MCDWvmf* 3. ὁμοί-
ρους *Wv* ὁ *om. i codd.* 4. βακούριος *MCDWvL, H* κακούριος *m* κα[β]-
κούριος *f* τῇ *om. DWL* 5. δὴ *v* στρατῷ *MCDmf (corr. in marg.), P*
εἴη *W* 6. μελήσει *MCDmf (corr.)* 7. τοὺς πολεμίους *M (corr.)* 8. ῥά-
γνασίς *D* αὐτοῦ *MCDmf (corr. in marg.), H* 9. καταλείπους *D* τάραντον *Wv*
10. αὐτοῦ *Wf (marg.), L* 11. ταύτῃ] ταῦτα *i codd. e le edd.* ταῦτα *per*
τοιαῦτα *WvL* 13. ἐπικαλοῦσι *per* Νέπα καλοῦσι *MCDmf (corr.) e poi segno
di lacuna.* 14. ὀνομαζόμενον *MCDmf (corr. in marg.), H (id.) P (id.)*

castello, tosto li imprigionò e fece sapere a Pacurio che se egli vo-
leva aver liberi i suoi soldati, doveva rendere gli ostaggi ai Goti.
Udito ciò, Pacurio, lasciati pochi uomini a guardia di Otranto, con
tutto il restante esercito marciò immantinente contro i nemici. Ra-
gnari, senza esitare, trucidò quei cinquanta e fece sortire i Goti da
Taranto per far fronte ai nemici. Venuti alle mani, i Goti ebber la
peggio, e Ragnari, perdutine gran numero, coi rimanenti si diede
alla fuga. Non fu però in grado di rientrare in Taranto, circon-
data com'era tutta dai Romani, ma recatosi ad Acherontide ivi
si tenne. A tanto ne eran le cose colà. Poco dopo i Romani,
posto l'assedio a Porto, lo ebbero per capitolazione, come pure un
castello di Toscana chiamato Nepi ed il forte di Pietra Pertusa.

Τεΐας δὲ (οὐ γὰρ ἀξιομάχους τῷ Ῥωμαίων στρατῷ Γότθους κατὰ μόνας ᾤετο εἶναι) παρὰ Θευδίβαλδον τὸν Φράγγων ἄρχοντα ἔπεμψε, χρήματα πολλὰ προτεινόμενος, ἐπί τε ξυμμαχίαν παρακαλῶν. ἀλλὰ Φράγγοι, τὰ ξύμφορα, οἶμαι, βεβουλευμένοι, οὔτε ὑπὲρ τῆς Γότθων οὔτε ὑπὲρ τῆς τῶν Ῥωμαίων ὠφελείας ἐβούλοντο θνήσκειν, ἀλλὰ σφίσιν 5
P 662 αὐτοῖς προσποιεῖν Ἰταλίαν ἐν σπουδῇ εἶχον, καὶ τούτου δὴ ἕνεκα τοὺς ἐν πολέμῳ κινδύνους ὑφίστασθαι μόνοι. ἐτύγχανε δὲ Τωτίλας ἔνια μὲν τῶν χρημάτων ἐν Τικίνῳ καταθέμενος, ἧπέρ μοι ἔμπροσθεν εἴρηται, τὰ δὲ πλεῖστα ἐν φρουρίῳ ἐχυρῷ μάλιστα, ὅπερ ἐν Κύμῃ τῇ ἐπὶ Καμπανίας ξυμβαίνει εἶναι, καὶ φρουροὺς ἐνταῦθα καταστησάμενος, 10 ἄρχοντά τε αὐτοῖς τὸν ἀδελφὸν τὸν αὐτοῦ ξὺν Ἡρωδιανῷ ἐπιστήσας. τούτους δὴ βουλόμενος ὁ Ναρσῆς ἐξελεῖν ἐς Κύμην τινὰς τοὺς τὸ φρούριον πολιορκήσοντας ἔπεμψεν, αὐτὸς δὲ Ῥώμην διακοσμῶν αὐτοῦ

1. οὐδὲ *per* οὐ *Wv* τῶν *WL* 2. θευδίβαλον *Wv* τῶν *W* φράγγον *corr. da* φράγγων *v* 4. οἶσμαι *Wv* 4-5. οὔτε – οὔτε] *B* οὐδὲ – οὐδὲ *i codd., HP* 5. ἐλευθερίας *per* ὠφελείας *Wv, Reg.* ἐβούλοιντο *W (corr. da* ἐβούλοντο*) v* σφίσι *D* 6-7. *Le parole* καὶ τούτου – μόνοι *om. D* 7. ἀφίστασθαι *W* ἐφίστασθαι *v* μόνοι] *le edd.* μόνους *i codd.* ὁ τουττίλας *Wv* 8. πιγκηνῷ *MCmf, H* πηγκηνῶ *D* τῆ κηνῶ *Wv* τῆ κηνῶν *L* μοι *om. D* 9. τῇ *om. WvL; in parent. f* 10. φρουρὰς *WvL* 11. *Il primo* τὸν *in parent. f; om. L* αὐτοῦ *MCDWvmf (corr.)* σὺν *WvL* 12. ὃ *per* τούτους *Wv* τε *per* τὸ *D* 13. πολιορκήσοντα *W* ἔπεμψαν *W*

Teia, pensando che i Goti non avrebber da soli potuto tener fronte all' esercito romano, spedì messi presso Teodebaldo, re dei Franchi, invitandolo con offerta di molto danaro ad allearsi seco. I Franchi però, non badando, come io credo, che alla propria utilità, non ebber voglia di morire nè pel bene dei Goti, nè per quello dei Romani, ma piuttosto intendevano a far loro propria l' Italia e quindi incontrare da soli i perigli della guerra. Totila avea, come già io dissi di sopra, deposta in Ticino una certa parte de' suoi tesori; ma la parte maggiore l' avea deposta in un castello molto forte che trovasi a Cuma, nella Campania, ponendo colà un presidio con a capo il proprio fratello insieme ad Erodiano. Nell' intento di espugnarlo, Narsete mandò i suoi uomini ad assediare il castello, mentre egli rimaneva in Roma

ἔμεινε. καὶ ἄλλους στείλας ἐκέλευε Κεντουκέλλας πολιορκεῖν. Τεΐας
δὲ ἀμφὶ τοῖς ἐν Κύμῃ φρουροῖς τε καὶ χρήμασι δείσας, ἀπογνούς τε
τὴν ἀπὸ τῶν Φράγγων ἐλπίδα, τούς οἱ ἑπομένους διέτασσεν ὡς τοῖς
πολεμίοις ὁμόσε χωρήσων. ὅνπερ αἰσθόμενος ὁ Ναρσῆς Ἰωάννην τε B 636
5 τὸν Βιταλιανοῦ ἀδελφιδοῦν καὶ Φιλιμοὺθ ξὺν τῷ οἰκείῳ στρατεύματι
ἐς τὰ ἐπὶ Τουσκίας χωρία ἰέναι κελεύει, ἐνταῦθά τε καθισομένους καὶ
τοῖς ἐναντίοις ἀναχαιτίσοντας τὴν ἐπὶ Καμπανίας ὁδόν, ὅπως οἱ Κύμην
πολιορκοῦντες ἀδεέστερον αὐτὴν ἢ βίᾳ ἢ ὁμολογίᾳ ἐξελεῖν δύναιντο.
ἀλλὰ Τεΐας ὁδοὺς μὲν ἐν δεξιᾷ τὰς ἐπιτομωτέρας ἐπὶ τὸ πλεῖστον ἀφεὶς
10 περιόδους τε πολλὰς καὶ μακροτάτας περιβαλλόμενος, διά τε τῆς πα-
ραλίας κόλπου τοῦ Ἰονίου ἰών, ἐς Καμπανίαν ἀφίκετο, τοὺς πολεμίους
λαθὼν ἅπαντας. ὅπερ ἐπεὶ Ναρσῆς ἔμαθε, τούς τε ἀμφὶ τὸν Ἰωάννην

1. ἐκέλευεν *D* 2. τοὺς *MCDmf (corr. in marg.), HP* ἐγκύμη *W*
φρουροὺς *MCDmf (corr. in marg.), H(id.) P* τε *om. MCDmf, HP* τὰ χρήματα
MCDmf, HP 3. τοὺς *per* τὴν *Wv* οἱ *om. D* διέτασεν *MDmf (corr.)*
5. τῶν *per* τὸν *v* ἀδελφόν *MCDmf; om. Wv* Φιλιμοὺθ] *i codd., H* Φιλη-
μοὺθ *PB* 6. ἰέναι *om. D* καθισομένους] *f (marg.), Reg.* καθισομένοις *v*
καθισομενοί *W* καθεζομένους *D* καθιζημένους *m* καθιζομένους *gli altri codd. e
le edd.* 7. ἀναχαιτίσοντας] *Wvf (marg.), Reg.* ἀναχαιτίζοντας *gli altri codd.
e le edd.* καμπανίαν *WvL* 8. πολυορκοῦντες *v* 9. ὁδοὺς μὲν] *Wvf (marg.) L;*
μὲν ὁδοὺς *MCDmf;* μὲν *om. le edd.* ἐπιτομωτέρας] *vf (marg.), Reg.* ἀπι-
τομωτέρας *W* ἐπιτομωτάτας *gli altri codd. e le edd.* 10. δὲ *per il primo* τε *Wv*·
πολλὰς *corr. da* τε πλοὺς *v* πλοὺς ἐπὶ μακρότατον *per* πολλὰς καὶ μακροτ. *W*
περιβαλόμενος *Wv* 11. ἰωνίου *D* ἐκκαμπανίαν *D* τοὺς δὲ *WL*

ad ordinare colà le cose; ed altri uomini mandò pure a Cento-
celle con ordine di assediarla. Teia, impensierito pel presidio e
pel tesoro di Cuma, nè più contando sull' aiuto de' Franchi, mise
in ordine i suoi per muovere contro il nemico. Fatto accorto
di ciò, Narsete ordinò a Giovanni, nipote di Vitaliano, ed a Fili-
muth di recarsi col loro esercito in Toscana ed accamparsi colà
onde render impedita ai nemici la via della Campania, affinchè
quelli ch' erano all' assedio di Cuma più facilmente potessero
prenderla, sia per forza, sia per dedizione. Ma Teia, lasciate da
parte le vie ben più corte che avea a destra, per molti e lunghi
giri andando lungo il golfo Ionio, giunse nella Campania senza
che punto i nemici se ne accorgessero. Informato di ciò Nar-

καὶ Φιλιμοὺθ μετεπέμπετο, οἳ τὴν δίοδον ἐν Τούσκοις ἐφρούρουν, καὶ Βαλεριανὸν ἄρτι Πέτραν ἐξαιροῦντα τὴν Περτοῦσαν καλουμένην μετεκάλει ξὺν τοῖς ἑπομένοις, τάς τε δυνάμεις ξυνήγειρε, παντί τε καὶ αὐτὸς τῷ στρατῷ ὡς ἐς μάχην ξυντεταγμένος ἐς Καμπανοὺς ᾔει.

